P. 32, 1 Prima exordii verba *Πολλάκις — καταστησάντων* attulerunt Aristoteles Rhetoricor. III. 9, 7. et Demetrius *περὶ ἑρμηνείας* sect. 25. 2—6 Horum verborum sententiam suis verbis reddidit Aristoteles ibidem 14, 2. 3 *εὐεξίας*] *εὐτυχίας* G. Cuius erroris alterum exemplum est 39, 13. 4 *αὑτῶν*] Scribebatur *ἑαυτῶν*: quod correxi. Forma disyllaba auctore G Isocrati toties est restituta, vix ut triginta quattuor trisyllabae exempla supersint, eaque partim ex aliis libris scriptis emendanda. Vid. ad 41, 24. 52, 16. 6 *δ'* add. G, qui eandem particulam in apodosi solus servavit p. 131, 8. (152 d. H. St.) 159, 31. (184 d.). 9 Sustuli hiatum. *δὲ ἀνδρὸς* Bekkeri editio, qui „*Apostrophum*“ inquit p. 17. ed. Oxon. „*ubicunque posui, posui auctore G.*“ Ita factum est ut de centenis hiatuum exemplis octoginta circiter remanserint in undeviginti orationibus: nam Callimachea et Niciana caret G: quae non dubium est quin ipsa quoque corrigi oporteat. Et in Panegyrico quidem partim ex aliis codicibus correxi 38, 31. 42, 13. 44, 22. 48, 12. 55, 9. 56, 2. 64, 9. 32. 67, 1. Dionysius Halic. de vi Demosth. cap. 4. p. 964, 1. Reisk. *δι' εὐλαβείας μὲν λαμβάνει Ἰσοκράτης τὸ συγκροῦσαι τὰ φωνήεντα τῶν γραμμάτων, δι' εὐλαβείας δὲ ποιεῖται τὸ χρήσασθαί τινι τῶν τραχυνόντων.* Plutarchus Moral. p. 350. E. *Ἰσοκράτης ὁ φοβούμενος φωνῆεν φωνήεντι συγκροῦσαι.* Demetrius *περὶ ἑρμ.* sect. 68. *περὶ δὲ συγκρούσεως φωνηέντων ὑπέλαβον ἄλλοι*

ἀθυμήσας εἱλόμην ῥαθυμεῖν, ἀλλ' ἱκανὸν νομίσας ἆθλον ἔσεσθαί μοι τὴν δόξαν τὴν ἀπ' αὐτοῦ τοῦ λόγου γενησομένην ἥκω συμβουλεύσων περί τε τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους καὶ τῆς ὁμονοίας τῆς πρὸς ἡμᾶς αὐτοὺς, οὐκ ἀγνοῶν ὅτι πολλοὶ τῶν προςποιησαμένων εἶναι σοφιστῶν ἐπὶ τοῦτον τὸν λόγον ὥρμησαν, ἀλλ' ἅμα μὲν ἐλπίζων τοσοῦτον διοίσειν ὥςτε 42
τοῖς ἄλλοις μηδὲν πώποτε δοκεῖν εἰρῆσθαι περὶ αὐτῶν, ἅμα δὲ προκρίνας τούτους καλλίστους εἶναι τῶν λόγων οἵτινες περὶ μεγίστων τυγχάνουσιν ὄντες καὶ τούς τε λέγοντας μάλιστ' ἐπιδεικνύουσι καὶ τοὺς ἀκούοντας πλεῖστ' ὠφελοῦσιν, ὧν εἷς οὗτός ἐστιν. ἔπειτ' οὐδ' οἱ καιροί πω παρεληλύθασιν ὥςτ' ἤδη μάτην εἶναι τὸ μεμνῆσθαι περὶ τούτων. τότε γὰρ χρὴ παύεσθαι λέγοντας, ὅταν ἢ τὰ πράγματα λάβῃ τέλος καὶ μηκέτι δέῃ βουλεύεσθαι περὶ αὐτῶν, ἢ τὸν λόγον ἴδῃ τις ἔχοντα πέρας ὥςτε μηδεμίαν λελεῖφθαι τοῖς ἄλλοις ὑπερβολήν. ἕως δ' ἂν τὰ μὲν ὁμοίως ὥςπερ πρότερον φέρηται, τὰ δ' εἰρημένα φαύλως ἔχοντα τυγχάνῃ, πῶς οὐ χρὴ σκοπεῖν καὶ φιλοσοφεῖν τοῦτον τὸν λόγον ὃς ἢν κατορθωθῇ, καὶ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους καὶ τῆς ταραχῆς τῆς παρούσης καὶ τῶν μεγίστων κακῶν ἡμᾶς ἀπαλλάξει; πρὸς δὲ τούτοις εἰ μὲν μηδαμῶς ἄλλως οἷόν τ' ἦν δηλοῦν τὰς αὐτὰς πράξεις
33 ἀλλ' ἢ διὰ μιᾶς ἰδέας, εἶχεν ἄν τις ὑπολαβεῖν ὡς περίεργόν ἐστι τὸν αὐτὸν τρόπον ἐκείνοις λέγοντα πάλιν ἐνοχλεῖν τοῖς ἀκούουσιν· ἐπειδὴ δ' οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν ὥςθ' οἷόν τ' εἶναι περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι, καὶ τά τε μεγάλα ταπεινὰ ποιῆσαι καὶ τοῖς μικροῖς μέγεθος περιθεῖναι, καὶ τά τε παλαιὰ καινῶς διελθεῖν καὶ περὶ τῶν

ἄλλως. Ἰσοκράτης μὲν γὰρ ἐφυλάττετο συμπλήσσειν αὐτὰ καὶ οἱ ἀπ' αὐτοῦ. 16 διοίσειν G αὐτῶν διοίσειν V. 17 τοῖς ἄλλοις μηδὲν πώποτε] πώποτε μηδὲν τοῖς ἄλλοις G. Quod non potuit dici; potuit μηδὲν πώποτε τοῖς ἄλλοις. 22 περὶ τούτων G περὶ αὐτῶν V. 23 λέγοντας G λέγοντα V. 24 αὐτὸν pr. G. 29 τῆς π.] τῆς om. G.

P. 33, 2—5 Ad haec respexit Isocrates in Philippo p. 83, 24. (99 a.). 3 τοιαύτην] ταύτην G. Longinus περὶ ὕψους XXXVIII, 2. ἐπειδ' οἱ λόγοι τοσαύτην ἔχουσι δύναμιν —. 5 καὶ τά τε μ.] καὶ τὰ μ. Longinus. 6 περιθεῖναι G et Longi-

νεωστὶ γεγενημένων ἀρχαίως εἰπεῖν, οὐκέτι φευκτέον ταῦτ᾽ ἐστὶ περὶ ὧν ἕτεροι πρότερον εἰρήκασιν, ἀλλ᾽ ἄμεινον ἐκείνων εἰπεῖν πειρατέον. αἱ μὲν γὰρ πράξεις αἱ προγεγενημέναι κοιναὶ πᾶσιν ἡμῖν κατελείφθησαν, τὸ δ᾽ ἐν καιρῷ ταύταις καταχρήσασθαι καὶ τὰ προςήκοντα περὶ ἑκάστης ἐνθυμηθῆναι καὶ τοῖς ὀνόμασιν εὖ διαθέσθαι τῶν εὖ φρονούντων ἴδιόν ἐστιν. ἡγοῦμαι δ᾽ οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν καὶ τὰς ἄλλας τέχνας καὶ τὴν περὶ τοὺς λόγους φιλοσοφίαν, εἴ τις θαυμάζοι καὶ τιμῴη μὴ τοὺς πρώτους τῶν ἔργων ἀρχομένους, ἀλλὰ τοὺς ἄρισθ᾽ ἕκαστον αὐτῶν ἐξεργαζομένους, μηδὲ τοὺς

---

nus. προςθεῖναι V. καὶ τά τε παλαιὰ] Legebatur καὶ τὰ παλαιά. Harpocratio in ἀρχαίως scripsit τά τε παλαιά. Ergo καὶ τά τε reponendum fuit, ut modo dixit καὶ τά τε μεγάλα — καὶ —. Ita enim solet Isocrates μονονοὺ κολαπτῆρσι καὶ ξυστῆρσι τὰς περιόδους ἀπολεαίνειν καὶ ῥυθμίζειν: quae sunt Plutarchi verba Moral. p. 350. D. διελθεῖν G, Longinus, Harpocratio. διεξελθεῖν V. διελθεῖν pro διεξελθεῖν auctore G editum in Panathen. p. 252, 17. (285 e). Ceterum commutata apud Longinum sedes est verborum διελθεῖν et εἰπεῖν. περὶ τῶν νεωστὶ γεγενημένων (γενομένων Harpocratio) ἀρχαίως εἰπεῖν] Sententiam inanem ineptum peperit oppositarum sententiarum studium iam ab veteribus in Isocrate reprehensum. Et hunc quidem locum risisse scriptorem ignotum in epistolis Socraticis p. 37. Orell. (ὁ τὰ παλαιὰ καινῶς καὶ τὰ καινὰ παλαιῶς ἐπαγγελλόμενος διδάσκειν) Allatius vidit. Interpretando magistri verba aditivisse Ephorum ab Harpocratione traditum est in ἀρχαίως: ἔνιοι μέν φασι σημαίνειν ἀρχαιοτρόπως, τουτέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι. Ἔφορος δ᾽ ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν τρόπον τινὰ ἐξηγήσατο. φησὶ περὶ τῶν ἀρχαίων πραγμάτων τοὺς νεωτέρους διεξέρχεσθαι· „περὶ μὲν γὰρ τῶν καθ᾽ ἡμᾶς γεγενημένων“ φησὶ „τοὺς ἀκριβέστατα λέγοντας πιστοτάτους ἡγούμεθα, περὶ δὲ τῶν παλαιῶν τοὺς οὕτω διεξιόντας ἀπιθανωτάτους εἶναι νομίζομεν, ὑπολαμβάνοντες οὔτε τὰς πράξεις ἁπάσας οὔτε τῶν λόγων τοὺς πλείστους εἰκὸς εἶναι μνημονεύεσθαι διὰ τοσούτων.“ Ad eundem Ephori locum spectant Harpocratio in καινὸς et Suidas Photiusque. 11 „τὰ προςήκοντα ἐνθυμηθῆναι ad sententias pertinet aptas rei quae tractatur eligendas: τοῖς ὀνόμασιν εὖ διαθέσθαι, *ornate scribere*, ad elocutionis virtutes. Similiter in oratione contra Sophistas p. 260, 17. (294 d) dixit, τοῖς ἐνθυμήμασι πρεπόντως ὅλον τὸν λόγον καταποικίλαι καὶ τοῖς ὀνόμασιν εὐρύθμως καὶ μουσικῶς εἰπεῖν.“ MORUS. 15 θαυμάζοι καὶ τιμῴη G τ. κ. θ. V. ἔργων G λόγων V. 16 ἄρισθ᾽

περὶ τούτων ζητοῦντας λέγειν περὶ ὧν μηδεὶς πρότερον εἴρη- 43
κεν, ἀλλὰ τοὺς οὕτως ἐπισταμένους εἰπεῖν ὡς οὐδεὶς ἂν ἄλλος δύναιτο.

II *Καίτοι τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι καὶ λίαν ἀπηκριβωμένοις, καὶ τοσοῦτον διημαρτήκασιν ὥςτε τοὺς πρὸς ὑπερβολὴν πεπονημένους πρὸς τοὺς ἀγῶνας τοὺς περὶ τῶν ἰδίων συμβολαίων σκοποῦσιν, ὥςπερ ὁμοίως δέον ἀμφοτέρους ἔχειν, ἀλλ᾽ οὐ τοὺς μὲν ἀσφαλῶς, τοὺς δ᾽ ἐπιδεικτικῶς, ἢ σφᾶς μὲν διορῶντας τὰς μετριότητας, τὸν δ᾽ ἀκριβῶς ἐπιστάμενον λέγειν ἁπλῶς οὐκ ἂν δυνάμενον εἰπεῖν. οὗτοι μὲν οὖν οὐ λελήθασιν ὅτι τούτους ἐπαινοῦσιν ὧν ἐγγὺς αὐτοὶ τυγχάνουσιν ὄντες. ἐμοὶ δ᾽ οὐδὲν πρὸς τοὺς τοιούτους, ἀλλὰ πρὸς ἐκείνους ἐστὶ τοὺς οὐδὲν ἀποδεξομένους τῶν εἰκῇ λεγομένων, ἀλλὰ δυςχεραντοῦντας καὶ ζητήσοντας ἰδεῖν τι τοιοῦτον ἐν τοῖς ἐμοῖς οἷον παρὰ τοῖς ἄλλοις οὐχ εὑρήσουσιν. πρὸς οὓς ἔτι μικρὸν ὑπὲρ ἐμαυτοῦ θρασυνάμενος ἤδη περὶ τοῦ πράγματος ποιήσομαι τοὺς λόγους. τοὺς μὲν γὰρ ἄλλους ἐν τοῖς προοιμίοις ὁρῶ καταπραΰνοντας τοὺς ἀκροατὰς, καὶ προφασιζομένους ὑπὲρ τῶν μελλόντων ῥηθήσεσθαι, καὶ λέγοντας τοὺς μὲν ὡς ἐξ ὑπογυίου γέγονεν αὐτοῖς ἡ παρασκευὴ, τοὺς δ᾽ ὡς χαλεπόν ἐστιν ἴσους*
34 *τοὺς λόγους τῷ μεγέθει τῶν ἔργων ἐξευρεῖν· ἐγὼ δ᾽ ἢν μὴ καὶ τοῦ πράγματος ἀξίως εἴπω καὶ τῆς δόξης τῆς ἐμαυτοῦ καὶ τοῦ χρόνου, μὴ μόνον τοῦ περὶ τὸν λόγον ἡμῖν διατρι-*

ἕκαστον αὐτῶν G ἄριστα αὐτῶν ἕκαστον V. 17 ζητοῦντας G ζητοῦντάς τι V. 20 „τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι, *quae superant intelligentiam et vires indoctorum, quae vulgi captum excedunt.*" Morus. 24 δέον ἀμφοτέρους G ἀ. δ. V. 25 „αἱ μετριότητες, si quis medium teneat inter nimium orationis ornatum, qui obiici solebat generi ἐπιδεικτικῷ, et nimiam tenuitatem. Thucydides II, 35. μετρίως εἰπεῖν" Morus. 26 οὐκ ἂν G οὐκ ἂν μὴ V. 29 ἀλλὰ πρὸς ἐκείνους ἐστὶ G ἐστὶν ἀ. π. ἐ. V. ἐκείνους] Usitatum est Graecis pronomina demonstrativa participiis addi: de quo quae Morus dixit tirones petant ex Matthiae grammatica §. 467 c. 30 τῶν εἰκῇ G εἰκῇ τῶν V. 31 οἷον G λόγοις, ὃ V.

P. 34, 1 ἴσους τοὺς λόγους τῷ μεγέθει G ἴσους τῷ μεγέθει λό-

φθέντος, ἀλλὰ καὶ σύμπαντος οὐ βεβίωκα, παρακελεύομαι μηδεμίαν μοι συγγνώμην ἔχειν, ἀλλὰ καταγελᾶν καὶ καταφρονεῖν· οὐδὲν γὰρ ὅ τι τῶν τοιούτων οὐκ ἄξιός εἰμι πάσχειν, εἴπερ μηδὲν τῶν ἄλλων διαφέρων οὕτω μεγάλας ποιοῦμαι τὰς ὑποσχέσεις. περὶ μὲν οὖν τῶν ἰδίων ταῦτά μοι προειρήσθω. περὶ δὲ τῶν κοινῶν, ὅσοι μὲν εὐθὺς ἐπελθόντες διδάσκουσιν ὡς χρὴ διαλυσαμένους τὰς πρὸς ἡμᾶς αὐτοὺς ἔχθρας ἐπὶ τὸν βάρβαρον τραπέσθαι, καὶ διεξέρχονται τάς τε συμφορὰς τὰς ἐκ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους ἡμῖν γεγενημένας καὶ τὰς ὠφελίας τὰς ἐκ τῆς στρατείας τῆς ἐπ' ἐκεῖνον ἐσομένας, ἀληθῆ μὲν λέγουσιν, οὐ μὴν ἐντεῦθεν ποιοῦν- 44
ται τὴν ἀρχὴν ὅθεν ἂν μάλιστα συστῆσαι ταῦτα δυνηθεῖεν. τῶν γὰρ Ἑλλήνων οἱ μὲν ὑφ' ἡμῖν, αἱ δ' ὑπὸ Λακεδαιμονίοις εἰσίν· αἱ γὰρ πολιτεῖαι δι' ὧν οἰκοῦσι τὰς πόλεις οὕτω τοὺς

γους V. 6 πάσχειν G μὴ πάσχειν V παρασχεῖν a pr. m. G. 7 τῶν ἄλλων om. pr. G. ποιοῦμαι τὰς ὑποσχέσεις G τ. ὑ. π. V. 10 „τὰς πρὸς ἡμᾶς αὐτοὺς ἔχθρας] Bellum Peloponnesiacum intelligit. ὁ βάρβαρος est rex Persiae.“ Morus. 15 ὠφελίας] Scribebatur ὠφελείας: vide 36, 24. 45, 20. 50, 29. 55, 13. 63, 26. 14 οὐ μὴν ἐντεῦθεν G οὐ μὴν ἐντεῦθέν γε V. In Philippo p. 83, 34. (99 b) οὐ μὴν ἀποστατέον ἐστὶν G οὐ μὴν ἀπ. γ' ἐστὶν V. 15 „συστῆσαι] Unde si ordirentur, hanc omnem causam constituere (statum controversiae definire) poterant. Nam στάσις, cui coniunctum est συνίστημι, apud rhetores Graecos (v. argum. orationum Demosth. Lycurg. aliorumque) est ea, quam Cic. Inv. I, 8 constitutionem caussae, Quinctilianus III, 6. statum appellavit. Caussa, quam Isocrates tractat, sic constituenda erat, ut primum quaereretur utrum ad Lacedaemonios an Athenienses principatus Graeciae pertineret, deinde ut bellum contra Persas suaderetur.“ Morus. 16 ὑφ' ἡμῖν G ἐφ' ἡμῖν V: vide ad 50, 13. et var. lect. ad Isocratem p. 125 d. 17 „αἱ γὰρ πολιτεῖαι — τὰς πόλεις] Forma civitatis, qua singulae civitates utuntur, vel democratica, vel oligarchica. C. 5. ἡ κατασκευή, ἐν ᾗ κατοικοῦμεν, καὶ δι' ἧς πολιτευόμεθα. C. 31. μετὰ ταύτης τῆς πολιτείας οἰκοῦμεν. Areop. p. 144. διὰ ταύτης τῆς πολιτείας ᾤκουν τὴν πόλιν. Est ergo πολιτεία, δι' ἧς οἰκοῦμεν τὴν πόλιν, forma et institutio reipublicae, secundum quam, tanquam normam, rempublicam administramus, inque ea vivimus: quod eleganti similitudine declaravit Isocr.

πλείστους αὐτῶν διειλήφασιν. ὅστις οὖν οἴεται τοὺς ἄλλους κοινῇ τι πράξειν ἀγαθὸν, πρὶν ἂν τοὺς προεστῶτας αὐτῶν διαλλάξῃ, λίαν ἁπλῶς ἔχει καὶ πόρρω τῶν πραγμάτων ἐστίν. ἀλλὰ δεῖ τὸν μὴ μόνον ἐπίδειξιν ποιούμενον, ἀλλὰ καὶ διαπράξασθαί τι βουλόμενον ἐκείνους τοὺς λόγους ζητεῖν οἵτινες τὼ πόλη τούτω πείσουσιν ἰσομοιρῆσαι πρὸς ἀλλήλας καὶ τάς θ' ἡγεμονίας διελέσθαι καὶ τὰς πλεονεξίας, ἃς νῦν παρὰ τῶν Ἑλλήνων ἐπιθυμοῦσιν αὑταῖς γίγνεσθαι, ταύτας πα- III *ρὰ τῶν βαρβάρων ποιήσασθαι. τὴν μὲν οὖν ἡμετέραν πόλιν ῥᾴδιον ἐπὶ ταῦτα προαγαγεῖν, Λακεδαιμόνιοι δὲ νῦν μὲν ἔτι δυσπείστως ἔχουσι· παρειλήφασι γὰρ ψευδῆ λόγον, ὡς ἔστιν αὐτοῖς ἡγεῖσθαι πάτριον. ἢν δ' ἐπιδείξῃ τις αὐτοῖς ταύτην τὴν τιμὴν ἡμετέραν οὖσαν μᾶλλον ἢ 'κείνων, τάχ' ἂν ἐάσαντες τὸ διακριβοῦσθαι περὶ τούτων ἐπὶ τὸ συμφέρον ἔλθοιεν. ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐντεῦθεν ἄρχεσθαι καὶ μὴ πρότερον περὶ τῶν ὁμολογουμένων συμβουλεύειν πρὶν*

Areop. p. 142. c." Morus. 18 „*οὕτω — διειλήφασιν*] Victo Xerxe Graeci omnes *διεμερίσθησαν πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους*: Thucyd. I, 18." Morus. 21 *τὸν — ποιούμενον — βουλόμενον* G *τοὺς — ποιουμένους — βουλομένους* V. 23 *τὼ πόλη τούτω*] *τὰς πόλεις ταύτας* V: G *τὼ πόλεε τούτω* litteris *εε* ab correctore positis. Recte Bekkerus *πόλη*: nam *πόλη* clare scriptum in eodem libro in oratione de pace p. 158, 11. (182 e). Eadem correctio adhibenda p. 234, 12 et 20, ubi editum *τὼ πόλεε*. Neque Aristophanes in Avibus v. 368. *ξυγγενέε* scripsit. 24 „*τάς θ' ἡγεμονίας διελέσθαι*] Antea maritimum imperium Atheniensium, terrestre Lacedaemoniorum fuerat. Thuc. I, 18. Quae divisio quam iusta sit et utilis, oratione explicatur apud Xenoph. Hellen. VII, 1. cf. VI. 5, 34." Morus. *τὰς πλεονεξίας — ποιήσασθαι*] Haec repetiit in Philippo p. 70, 12. (84 b). 27 *προαγαγεῖν* G *προσαγαγεῖν* V. 28 *δυσπείστως*] *δυσπίστως* G. 30 *ἢ ἐκείνων* V. *ἢ κείνων* G. Quare *ἢ 'κείνων* dedi, de quo dictum praefatione ad Demosthenem p. IV. Cuius craseos exempla Isocratea in mea editione haec sunt, p. 75, 2. 79, 1. 86, 30. 93, 1. 158, 6. 188, 35. 200, 33. 206, 14. 211, 35. 230, 21. 233, 2. 240, 30. 320, 33. (362, 12 scrib. *μὴ 'κείνων*) 372, 25. et similiter alibi *ἁκεῖνος* (quod restituendum p. 353, 18. 368, 8) et *τἀκείνων*. 33 *πρὶν*] Male G *πρὶν ἢ*, qui fidem sibi ipse derogat eo quod

περὶ τῶν ἀμφισβητουμένων ἡμᾶς ἐδίδαξαν· ἐμοὶ δ' οὖν ἀμφοτέρων ἕνεκα προςήκει περὶ ταῦτα ποιήσασθαι τὴν πλείστην διατριβήν, μάλιστα μὲν ἵνα προὔργου τι γένηται καὶ παυσάμενοι τῆς πρὸς ἡμᾶς αὐτοὺς φιλονεικίας κοινῇ τοῖς βαρβάροις πολεμήσωμεν, εἰ δὲ τοῦτ' ἐστὶν ἀδύνατον, ἵνα δηλώσω τοὺς ἐμποδὼν ὄντας τῇ τῶν Ἑλλήνων εὐδαιμονίᾳ, καὶ πᾶσι γένηται φανερὸν ὅτι καὶ πρότερον ἡ πόλις ἡμῶν δικαίως τῆς θαλάττης ἦρξε καὶ νῦν οὐκ ἀδίκως ἀμφισβητεῖ τῆς ἡγεμονίας. τοῦτο μὲν γὰρ εἰ δεῖ τούτους ἐφ' ἑκάστῳ τιμᾶσθαι τῶν ἔργων τοὺς ἐμπειροτάτους ὄντας καὶ μεγίστην δύναμιν ἔχοντας, ἀναμφισβητήτως ἡμῖν προςήκει τὴν ἡγεμονίαν ἀπολαβεῖν, ἥνπερ πρότερον ἐτυγχάνομεν ἔχοντες· οὐδεὶς γὰρ ἂν ἑτέραν πόλιν ἐπιδείξειε τοσοῦτον ἐν τῷ πολέμῳ τῷ κατὰ γῆν ὑπερέχουσαν ὅσον τὴν ἡμετέραν ἐν τοῖς κινδύνοις τοῖς κατὰ θάλατταν διαφέρουσαν· τοῦτο δ' εἴ τινες ταύτην μὲν μὴ νομίζουσι δικαίαν εἶναι τὴν κρίσιν, ἀλλὰ πολλὰς τὰς μεταβολὰς γίγνεσθαι, τὰς γὰρ δυναστείας οὐδέποτε τοῖς αὐτοῖς παραμένειν, ἀξιοῦσι δὲ τὴν ἡγεμονίαν ἔχειν ὥςπερ ἄλλο τι γέρας ἢ τοὺς πρώτους τυχόντας ταύτης τῆς τιμῆς ἢ τοὺς πλείστων

---

alibi, ubi πρὶν ἢ legebatur, ἢ recte omittit. Certissimum est enim Isocratem in iis esse scriptoribus qui πρὶν ἢ particulis abstinuerunt: de qua re explicui praefatione ad Isocratem p. V.

34 ἐδίδαξαν G ἀπαλλάξαι V. 36 προὔργου] πρὸ ἔργου Commentaria Aldina in Aristotelis Ethica folio 43 verso: προὔργου Suidas et schol. Luciani I. p. 823. III. p. 507. 37 φιλονεικίας] φιλονικίας G, qui frequens est librariorum error. Diphthongum in Isocrate servat G p. 15, 9. 129, 11. 188, 17. 37. 234, 26.

P. 35, 2 „τοὺς ἐμποδὼν ὄντας] Lacedaemonios. Aristoteles Rhetor. III. 17, 17. 'Ισοκράτης συμβουλεύων κατηγορεῖ Λακεδαιμονίων ἐν τῷ πανηγυρικῷ.“ Morus. 4 ἀμφισβητεῖ τῆς G ἀμφισβητεῖ περὶ τῆς V. Vide ad 41, 28. ἀμφισβητεῖν genitivo iunxit Isocrates p. 83, 13. 112, 23. 115, 36. (ubi V addit περὶ) et alibi. 8 ἥνπερ G ἣν V. 9 γῆν] τὴν G. 11 εἰ — νομίζουσι G εἰ — νομίζωσι V. 15 „πρώτους] Videtur Isocrates c. 4. hoc ex antiquitate gentis Atticae per se demonstrare voluisse: quod ut vim habeat vereor, nisi reliquae narrationes de bellis c. 9. 15. addantur; quum antiquitas ipsa non necessario cum principatu coniuncta sit. Ceterum sciendum est, hanc omnem antiquissimi

ἀγαθῶν αἰτίους τοῖς Ἕλλησιν ὄντας, ἡγοῦμαι καὶ τούτους εἶναι μεθ' ἡμῶν· ὅσῳ γὰρ ἄν τις πορρωτέρωθεν σκοπῇ περὶ τούτων ἀμφοτέρων τοσούτῳ πλέον ἀπολείψομεν τοὺς ἀμ-
IV *φισβητοῦντας. ὁμολογεῖται μὲν γὰρ τὴν πόλιν ἡμῶν ἀρχαιοτάτην εἶναι καὶ μεγίστην καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστοτάτην· οὕτω δὲ καλῆς τῆς ὑποθέσεως οὔσης, ἐπὶ τοῖς ἐχομένοις τούτων ἔτι μᾶλλον ἡμᾶς προςήκει τιμᾶσθαι. ταύτην γὰρ οἰκοῦμεν οὐχ ἑτέρους ἐκβαλόντες οὐδ' ἐρήμην καταλαβόντες οὐδ' ἐκ πολλῶν ἐθνῶν μιγάδες συλλεγέντες, ἀλλ' οὕτω καλῶς καὶ γνησίως γεγόναμεν ὥςτ' ἐξ ἧςπερ ἔφυμεν, ταύτην ἔχοντες ἅπαντα τὸν χρόνον διατελοῦμεν, αὐτόχθονες ὄντες καὶ τῶν ὀνομάτων τοῖς αὐτοῖς οἷςπερ τοὺς οἰκειοτάτους τὴν πόλιν ἔχοντες προςειπεῖν· μόνοις γὰρ ἡμῖν τῶν Ἑλλήνων*

---

temporis *ἡγεμονίαν* non fuisse ei similem, quae per Salaminiam victoriam constituta (v. ad c. 20.) pacis et belli tempore aliquamdiu obtinuit: sed partim maiorem in bellis auctoritatem propter opes maiores, (ut c. 15. de Atheniensibus ante tempora Troiani belli, *ἡγεμονικῶς εἶχον*, cum explicatione, *μείζω δύναμιν εἶχον*), partim munus ordinandi belli, aliosque ducendi, unde c. 9. *στρατηγοὶ καταστάντες αὐτῶν*, et c. 22. *οἰόμενοι δεῖν στρατηγεῖν*. Eodem sensu Thuc. p. 13. 59. 63. 64. ed. Steph. de Lacedaemoniis, ante victoriam Lysandri, quae iis principatum *κατ' ἐξοχὴν* acquisivit, *ἡγεῖσθαι*, et p. 263. *μέγιστον ἀξίωμα τῶν Ἑλλήνων ἔχοντες*. Et ita accipiendum est, ubicunque Lacedaemoniis tribuitur *ἡγεμονία* ante pugnam illam Lysandri. Quid quod ipso tempore Salaminiae pugnae visi sibi sunt *ἡγεμόνες τῆς θαλάσσης*, Diod. Sic. XI, 27. hoc est ceteris opulentiores et maiores, digni iure belli constituendi." Morus. 16 *τούτους* G *τούτους γ'* V. 17 *πορρωτέρω* V. Egregie G *πορρωτέρωθεν*. Eidem libro servatum aliis quibusdam in locis debemus rarissimi usus comparativum *πορρωτέρωθεν*: de quo dixi praefatione ad Isocratem p. VI. 18 *πλέον* G *πλεῖον* V. In hac re non constat sibi G. 19 Post *ἀμφισβ.* add. V *περὶ αὐτῶν*: om. G. 20 „*μεγίστην*] Helen. encom. p. 245. HSt. et Dio Chrysost. orat. VI." Coraës. *ἀνθρώποις οἷς* pr. G. 21 *καλῆς τῆς*] *καλλίστης* G. 22 „*ταύτην γὰρ οἰκοῦμεν*] Iustin. II, 6." Morus. 27 *τῶν ὀνομάτων* G *τοῖς ὀνόμασι* V. *τοῖς αὐτοῖς οἷςπερ* G *τοῖς αὐτοῖς ὥςπερ* V. In Demosthene p. 492, 11. libri deteriores *τοῖς αὐτοῖς ὥςπερ ἡμεῖς νῦν*: contra in Platone de Legg.

τὴν αὐτὴν τροφὸν καὶ πατρίδα καὶ μητέρα καλέσαι προςήκει. καίτοι χρὴ τοὺς εὐλόγως μέγα φρονοῦντας καὶ περὶ τῆς ἡγεμονίας δικαίως ἀμφισβητοῦντας καὶ τῶν πατρίων πολλάκις μεμνημένους τοιαύτην τὴν ἀρχὴν τοῦ γένους ἔχοντας φαίνεσθαι.

V Τὰ μὲν οὖν ἐξ ἀρχῆς ὑπάρξαντα καὶ παρὰ τῆς τύχης δωρηθέντα τηλικαῦθ' ἡμῖν τὸ μέγεθός ἐστιν· ὅσων δὲ τοῖς ἄλλοις ἀγαθῶν αἴτιοι γεγόναμεν, οὕτως ἂν κάλλιστ' ἐξετάσαιμεν, εἰ τόν τε χρόνον ἀπ' ἀρχῆς καὶ τὰς πράξεις τὰς τῆς
36 πόλεως ἐφεξῆς διέλθοιμεν· εὑρήσομεν γὰρ αὐτὴν οὐ μόνον τῶν πρὸς τὸν πόλεμον κινδύνων, ἀλλὰ καὶ τῆς ἄλλης κατασκευῆς, ἐν ῇ κατοικοῦμεν καὶ μεθ' ἧς πολιτευόμεθα καὶ δι' ἣν ζῆν δυνάμεθα, σχεδὸν ἁπάσης αἰτίαν οὖσαν. ἀνάγκη δὲ

II. p. 671 c (269, 23 Bekk.) optimi τὸν αὐτὸν ὥςπερ τόκε- 29 „τροφὸν καὶ πατρίδα καὶ μητέρα] Panath. p. 258. Lysias Epitaph. p. 39. ed. Taylori, τὴν αὐτὴν ἐκέκτηντο μητέρα καὶ πατρίδα. Demosth. Orat. Fun. p. 152. C. ed. Wolf. Platon. Menex. p. 365. ed. Bas. Aristid. Panath. p. 11. ed. Steph. sententiam immutavit. Cic. Flacc. 26. parens, altrix, patria.“ Morus. 31 πατρίων G πατρῴων V. „De discrimine horum verborum vide interpretes ad Luciani Soloec. vol. III. p. 561. et Fischerum ad Wellerum p. 293.“ Morus. Coraës annotationem suam ad Heliodorum p. 92. memorat.

P. 36, 2 „τῶν πρὸς τὸν πόλεμον κινδύνων] Quia belli, praesertim mari, gerendi rationem et modum demonstravit: sic enim historia duce debet intelligi, αἰτία τῶν πρὸς τὸν πόλεμον κινδύνων, *quae docuit bella gerere.* De bellis egit c. 9. 15. 19. De re maritima Thuc. p. 13. Ἀθηναῖοι ναυτικοὶ ἐγένοντο, qui etiam p. 122. Athenas dixit πόλιν, καὶ ἐς πόλεμον, καὶ ἐς εἰρήνην αὐταρκεστάτην.“ Morus. 3 δι'] μεθ' pr. G. 4 „δι' ἣν ζῆν δυνάμεθα] *Per quam institutionem civitatis vitalem vitam* (ἀξιοβίωτον) *vivere possumus*, non ferinam amplius, quae ratione hominum, societati destinatorum, ne vita quidem dici potest. Hoc autem effectum quidem est etiam inventione frugum, quae homines a vita ferina abduxit (c. 6.), et mysteriis, quae bona spe replent vitam humanam (ibid.), sed potissimum legibus (c. 10.), de quibus et Xen. Mem. III. 3, 11: δι' ὧν ζῆν ἐπιστάμεθα. Nec vita primorum hominum, ut est c. 8. talis fuit, qualis nunc vivitur; sed subinde accesserunt commoda, δι' ἃ ζῆν (melius et humanius vivere) δυ-

προαιρεῖσθαι τῶν εὐεργεσιῶν μὴ τὰς διὰ μικρότητα διαλαθούσας καὶ κατασιωπηθείσας, ἀλλὰ τὰς διὰ τὸ μέγεθος ὑπὸ 46 πάντων ἀνθρώπων καὶ πάλαι καὶ νῦν καὶ πανταχοῦ καὶ λεγομένας καὶ μνημονευομένας.

VI Πρῶτον μὲν τοίνυν, οὗ πρῶτον ἡ φύσις ἡμῶν ἐδεήθη, διὰ τῆς πόλεως τῆς ἡμετέρας ἐπορίσθη· καὶ γὰρ εἰ μυθώδης ὁ λόγος γέγονεν, ὅμως αὐτῷ καὶ νῦν ῥηθῆναι προσήκει. Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν χώραν ὅτ᾽ ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης, καὶ πρὸς τοὺς προγόνους ἡμῶν εὐμενῶς διατεθείσης ἐκ τῶν εὐεργεσιῶν ἃς οὐχ οἷόν τ᾽ ἄλλοις ἢ τοῖς μεμυημένοις ἀκούειν, καὶ δούσης δωρεὰς αἵπερ μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρπούς, οἳ τοῦ μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελετήν, ἧς οἱ μετασχόντες περί τε τῆς τοῦ βίου τελευτῆς καὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους

νάμεθα. Atqui haec omnia debentur Atheniensibus. Cf. Diod. Sic. V, 5.“ Morus. 6 καὶ καταδιωπηθείσας om. pr. G. 9 τοίνυν G. Legebatur οὖν, quam particulam alteri ubique fere sufficere solent librarii: vide lectionis varietatem ad Demosthenem p. 286, 25. 311, 7. 316, 26. 351, 17. 398, 28. 429, 11. 501, 14. 603, 17. 710, 4. 762, 12. 1178, 1. 1334, 24. ed. Reisk. In mea editione Demosthenis vol. III. p. 108, 6. reponatur ἃ μὲν τοίνυν. 10 τῆς πόλεως om. pr. G. 11 αὐτῷ G αὐτὸν V. Sic infra 40, 31 legebatur ἡγοῦμαι δὲ τοὺς προγόνους — τιμᾶσθαι προσήκειν; ubi ex Urbinate τοῖς προγόνοις restitutum. 12 ἀφικομένης εἰς τὴν χώραν G ἀφικνουμένης εἰς τὴν χώραν ἡμῶν V. „ὅτ᾽ ἐπλανήθη] Callim. H. in Cer. 8 seqq. Ovid. Met. V, 438. ibidemque v. 385. de raptu Proserpinae, quae est ἡ Κόρη. Cf. Cic. N. D. II, 24. Verr. IV, 49. Tacit. Ann. II, 49. Claudiani carmen nemo nescit.“ Morus. 13 ἡμῶν G τοὺς ἡμετέρους V. Conf. 41, 35. 15 δωρεὰς G δωρεὰς δεττὰς V. 16 „τοῦ μὴ θηριωδῶς] Diod. Sic. I, 8. Sext. Empir. p. 295 et 551. ed. Fabric. Ovid. Fast. II, 291. Ael. V. H. III, 39.“ Morus. 17 μετασχόντες G μετέχοντες V. 18 ἡδίους τὰς] ἡδίστους G. „ἡδίους τὰς ἐλπίδας] Demonstratum est initiatis, animum esse immortalem, aut saltem vitam a morte corporis continuari et esse futuram sortem beatam miseramve. Cf. Platon. Phaed. c. 13. Aeschin. dial. 3. c. 17. 20. Aristoph. Ran. v. 155 sqq. et schol. ad h. l. Cic. de Legg. II, 14. *Hic accepimus non*

τὰς ἐλπίδας ἔχουσιν, οὕτως ἡ πόλις ἡμῶν οὐ μόνον θεοφιλῶς, ἀλλὰ καὶ φιλανθρώπως ἔσχεν ὥστε κυρία γενομένη τοσούτων ἀγαθῶν οὐκ ἐφθόνησε τοῖς ἄλλοις, ἀλλ᾽ ὧν ἔλαβεν ἅπασι μετέδωκεν. καὶ τὰ μὲν ἔτι καὶ νῦν καθ᾽ ἕκαστον τὸν ἐνιαυτὸν δείκνυμεν, τῶν δὲ συλλήβδην τὰς χρείας καὶ τὰς ἐργασίας καὶ τὰς ὠφελίας τὰς ἀπ᾽ αὐτῶν γιγνομένας ἐδίδαξεν. καὶ τούτοις ἀπιστεῖν μικρῶν ἔτι προστεθέντων οὐδεὶς ἂν ἀξιώ-
VII σειεν. πρῶτον μὲν γὰρ ἐξ ὧν ἄν τις καταφρονήσειε τῶν λεγομένων ὡς ἀρχαίων ὄντων, ἐκ τῶν αὐτῶν τούτων εἰκότως ἂν καὶ τὰς πράξεις γεγενῆσθαι νομίσειεν· διὰ γὰρ τὸ πολλοὺς εἰρηκέναι καὶ πάντας ἀκηκοέναι προσήκει μὴ καινὰ μέν, πιστὰ δὲ δοκεῖν εἶναι τὰ λεγόμενα περὶ αὐτῶν. ἔπειτ᾽ οὐ μόνον ἐνταῦθα καταφυγεῖν ἔχομεν, ὅτι τὸν λόγον καὶ τὴν φήμην ἐκ πολλοῦ παρειλήφαμεν, ἀλλὰ καὶ σημείοις μείζοσιν ἢ τούτοις ἔστιν ἡμῖν χρήσασθαι περὶ αὐτῶν. αἱ μὲν γὰρ πλεῖ-

---

solum rationem cum laetitia vivendi, sed et cum spe meliore moriendi. Meursii Eleusin. c. 17. Eschenbachii Epigenes p. 185." Morus. 20 τοσούτων G τοιούτων V. 22 ἕκαστον τὸν G ἕκαστον V. Articulum post ἕκαστος in libris vulgatis tantum non ubique omissum Urbinas praebet in Isocrate, idque in his ipsis locutionibus καθ᾽ ἕκαστον τὸν ἐνιαυτὸν, καθ᾽ ἑκάστην τὴν ἡμέραν, p. 11, 5. (11, 32. καθ᾽ ἑκάστην τὴν πρᾶξιν.) 12, 29. 77, 28. 87, 18. (113, 17. ex codice Laurentiano.) 122, 36. 126, 35. 132, 15. 152, 21. (172, 14. ἐξ ἑκάστης τῆς πολιτείας.) 189, 33. 244, 23. 255, 12. 271, 30. 278, 9. (294, 9. scrib. καθ᾽ ἕκαστον τὸν ἐνιαυτὸν ex codice Laurentiano apud Orellium, cui est p. 69, 3.) 318, 37. 326, 12. 398, 19. et in Panegyrico p. 45, 21. ut quinque tantum supersint exempla omissi, quae non potest dubitari quin articulo augeri oporteat, in Panegyrico p. 36, 35. 55, 2. in Archidamo p. 110, 31. in Aeginet. p. 372, 30. et in Panathen. p. 227, 14. quo postremo in loco Bekkerus τὸν de suo addidit. Non magis ferendum in Isocrate videtur καθ᾽ ἡμέραν ἑκάστην in Areopagitico p. 124, 25. quod scribendum κατὰ τὴν ἡμέραν ἑκάστην, ut p. 24, 8. ex libro Urbinate κατὰ τὴν ἡμέραν ἑκάστην repositum est, quum editum antea esset καθ᾽ ἡμέραν ἑκάστην. Conf. p. 12, 20. 160, 17. 171, 29. 23 τὰς χρείας καὶ τὰς ἐργασίας G τὰς εὐεργεσίας καὶ τὰς χρείας V. 24 ὠφελίας τὰς ἀπ᾽ G ὠφελείας τὰς δι᾽ V. ἐδίδαξεν G ἐδιδάξαμεν V. 25 μικρῶν ἔτι προστεθέντων G μικρὸν ἔτι προστιθέντων V.

σται τῶν πόλεων ὑπόμνημα τῆς παλαιᾶς εὐεργεσίας ἀπαρχὰς τοῦ σίτου καθ' ἕκαστον τὸν ἐνιαυτὸν ὡς ἡμᾶς ἀποπέμπουσι, ταῖς δ' ἐκλειπούσαις πολλάκις ἡ Πυθία προςέταξεν ἀποφέρειν τὰ μέρη τῶν καρπῶν καὶ ποιεῖν πρὸς τὴν πόλιν τὴν ἡμετέ-
37 ραν τὰ πάτρια. καίτοι περὶ τίνων χρὴ μᾶλλον πιστεύειν ἢ
περὶ ὧν ὅ τε θεὸς ἀναιρεῖ καὶ πολλοῖς τῶν Ἑλλήνων συν- 47
δοκεῖ, καὶ τά τε πάλαι ῥηθέντα τοῖς παροῦσιν ἔργοις συμμαρτυρεῖ καὶ τὰ νῦν γιγνόμενα τοῖς ὑπ' ἐκείνων εἰρημένοις
VIII ὁμολογεῖ; χωρὶς δὲ τούτων, ἢν ἅπαντα ταῦτ' ἐάσαντες ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν, εὑρήσομεν ὅτι τὸν βίον οἱ πρῶτοι φανέντες ἐπὶ γῆς οὐκ εὐθὺς οὕτως ὥςπερ νῦν ἔχοντα κατέλαβον, ἀλλὰ κατὰ μικρὸν αὐτοὶ συνεπορίσαντο. τίνας οὖν χρὴ μᾶλλον νομίζειν ἢ δωρεὰν παρὰ τῶν θεῶν λαβεῖν ἢ ζητοῦντας αὐτοὺς ἐντυχεῖν; οὐ τοὺς ὑπὸ πάντων ὁμολογουμένους καὶ πρώτους γενομένους καὶ πρός τε τὰς τέχνας εὐφυεστάτους ὄντας καὶ πρὸς τὰ τῶν θεῶν εὐσεβέστατα διακειμένους; καὶ μὴν ὅσης προςήκει τιμῆς τυγχάνειν τοὺς τηλικούτων ἀγαθῶν αἰτίους περίεργον διδάσκειν. οὐδεὶς γὰρ ἂν δύναιτο δωρεὰν τοσαύτην τὸ μέγεθος εὑρεῖν ἥτις ἴση τοῖς πεπραγμένοις ἐστίν.

Περὶ μὲν οὖν τοῦ μεγίστου τῶν εὐεργετημάτων καὶ πρώ-
IX του γενομένου καὶ πᾶσι κοινοτάτου ταῦτ' εἰπεῖν ἔχομεν. περὶ δὲ τοὺς αὐτοὺς χρόνους ὁρῶσα τοὺς μὲν βαρβάρους τὴν πλεί-

---

34 ὑπόμνημα G ὑπομνήματα V. Conf. 44, 28. 60, 16. 35 ἕκαστον τὸν] Aberat τὸν: vide ad 36, 22. 36 „ἡ Πυθία προςέταξεν] Scholiast. Aristoph. ad Equit. 725. Suid. in Ἄβαρις, εἰρεσιώνη et προηροσίαι.“ Coraës.

P. 37, 1 μᾶλλον G μάλιστα V. 2 ἀναιρεῖ] In editionem meam priorem irrepsit error typotheticus editionis Berolinensis ἀναιρεῖται. 5 ἢν G ἐὰν V. 8 αὐτοὶ G αὐτοῖς V. 14 περίεργον G πάρεργον V. 15 δωρεὰν τοσαύτην G δωρεᾶς τοσαύτης V. 18 εἰπεῖν ἔχομεν G ἔχομεν εἰπεῖν V. 19 „τὴν πλείστην τῆς χώρας] *Eius terrae, quam nos incolimus, quae ab Attica et Boeotia* (nam hae duae partes vetustissimis temporibus Graecia supra Isthmum fuisse videntur, id quod de Athenis constat, de Thebis intelligitur e c. 15.) *usque ad Macedoniam pertinuit, et postea Ἑλλάδος nomen habuit.* Hoc postulat et narratio huius

στην τῆς χώρας κατέχοντας, τοὺς δ᾽ Ἕλληνας εἰς μικρὸν τόπον κατακεκλειμένους καὶ διὰ σπανιότητα τῆς γῆς ἐπιβουλεύοντάς τε σφίσιν αὐτοῖς καὶ στρατείας ἐπ᾽ ἀλλήλους ποιουμένους, καὶ τοὺς μὲν δι᾽ ἔνδειαν τῶν καθ᾽ ἡμέραν, τοὺς δὲ διὰ τὸν πόλεμον ἀπολλυμένους, οὐδὲ ταῦθ᾽ οὕτως ἔχοντα περιεῖδεν, ἀλλ᾽ ἡγεμόνας εἰς τὰς πόλεις ἐξέπεμψεν, οἳ παραλαβόντες τοὺς μάλιστα βίου δεομένους, στρατηγοὶ καταστάντες αὐτῶν καὶ πολέμῳ κρατήσαντες τοὺς βαρβάρους, πολλὰς μὲν ἐφ᾽ ἑκατέρας τῆς ἠπείρου πόλεις ἔκτισαν, ἁπάσας δὲ τὰς

---

loci, et quae diserte sequuntur de hac *χώρᾳ*, *ἅπας τόπος, ὃν νῦν τυγχάνομεν κατέχοντες*, et *ἡ ὑφ᾽ ἡμῶν ἀφορισθεῖσα χώρα*, *quae, finibus nostra opera constitutis, a barbarorum regnis divisa et Graeca facta est.* Hoc firmatur duobus locis e Panath. p. 241. 242. Steph. *Οἱ ἡμέτεροι πρόγονοι* (gerendis iis rebus, quae nostro loco narrantur) *ἐδίδαξαν τοὺς Ἕλληνας, ὃν τρόπον τὴν Ἑλλάδα μεγάλην ποιήσειαν.* Mox: *Συνέβαινεν ἐξ ὧν ἡμεῖς* (Athenienses) *ἐπράττομεν, αὐξάνεσθαι τὴν Ἑλλάδα καὶ τὴν Εὐρώπην κρείττω γίγνεσθαι τῆς Ἀσίας.* Quibus addendum est ex eadem oratione p. 268. Athenienses illo tempore *διπλασίαν πεποιήκασι τὴν Ἑλλάδα τῆς ἐξ ἀρχῆς συστάσης.* Etiam barbaros intelligimus eos, qui tum finitimi Atticae et Boeotiae fuerunt, communique nomine Thraces et Scythae dicti videntur, quorum nominum vaga est significatio; utrique tamen imperium Europae habuerunt. Ac de Thracibus Isocrates c. 19. *τὸν ἄλλον χρόνον* (ante Erechtheum) *ὅμοροι προσοικοῦντες ἡμῖν*, et Socrates apud Xen. Mem. III. 5, 10. bellum ab Erechtheo gestum (gestum autem est cum Thracibus et Eleusiniis: Paneg. c. 19.) appellat bellum *πρὸς τοὺς ἐκ τῆς ἐχομένης ἠπείρου πάσης.* Ergo Thraces illo tempore finitimi Atticae fuerunt. Hos Thraces coëgerunt Athenienses recedere versus septentrionem, et Graeciae fines promoverunt: nam inter Thracas et Atticam Boeotiamque orta est Thessalia, Epirus, Macedonia etc. Hinc c. 19. de Thracibus: *Τοσοῦτον διέλιπον, ὥστε ἐν τῷ μεταξὺ τῆς χώρας* (inter Boeotiam et Thraciam) *ἔθνη πολλὰ καὶ γένη παντοδαπὰ καὶ πόλεις μεγάλας κατοικισθῆναι.* Fines Thraciae tempore belli Peloponnesiaci Thucyd. II, 97. notavit, unde apparet quam longe a Graecia remoti fuerint." Morus. 21 *κατακεκλειμένους* G *κατακεκλεισμένους* V. Priorem formam in Isocrate praebuit G p. 105, 31. (124 a.) 286, 29. (342 d.) 22 „*ἐπ᾽ ἀλλήλους*] Thucydides I. init." Morus. 28 *ἐφ᾽ ἑκατέρας* G *ἐφ᾽ ἑκάτερα* V. In Panathenaica p. 212, 13. (241 d.) quum legeretur

νήσους κατῴκισαν, ἀμφοτέρους δὲ, καὶ τοὺς ἀκολουθήσαντας καὶ τοὺς ὑπομείναντας, ἔσωσαν· τοῖς μὲν γὰρ ἱκανὴν τὴν οἴκοι χώραν κατέλιπον, τοῖς δὲ πλείω τῆς ὑπαρχούσης ἐπόρισαν· ἅπαντα γὰρ περιεβάλοντο τὸν τόπον ὃν νῦν τυγχάνομεν κατέχοντες. ὥςτε καὶ τοῖς ὕστερον βουληθεῖσιν ἀποικίσαι τινὰς καὶ μιμήσασθαι τὴν πόλιν τὴν ἡμετέραν πολλὴν ῥᾳστώνην ἐποίησαν· οὐ γὰρ αὐτοὺς ἔδει κτωμένους χώραν διακινδυνεύειν, ἀλλ' εἰς τὴν ὑφ' ἡμῶν ἀφορισθεῖσαν, εἰς ταύ- 48
την οἰκεῖν ἰόντας. καίτοι τίς ἂν ταύτης ἡγεμονίαν ἐπιδεί-
38 *ξειεν ἢ πατριωτέραν τῆς πρότερον γενομένης πρὶν τὰς πλείστας οἰκισθῆναι τῶν Ἑλληνίδων πόλεων, ἢ μᾶλλον συμφέρουσαν τῆς τοὺς μὲν βαρβάρους ἀναστάτους ποιησάσης, τοὺς δ' Ἕλληνας εἰς τοσαύτην εὐπορίαν προαγαγούσης;*

X *Οὐ τοίνυν, ἐπειδὴ τὰ μέγιστα συνδιέπραξε, τῶν ἄλλων ὠλιγώρησεν, ἀλλ' ἀρχὴν μὲν ταύτην ἐποιήσατο τῶν εὐεργε-*

πολλὰς πόλεις ἐφ' ἑκάτερα τῆς ἠπείρου (recte G *τῶν ἠπείρων*) *καὶ μεγάλας ἔκτισαν*, recte Wolfius correxit *ἐφ' ἑκατέρας*. Conf. ibid. p. 236, 12. (267 e.) et ad Philippum p. 89, 12. (105 a.) „*ἑκατέρας τῆς ἠπείρου*] H. e. *τῆς Ἀσίας τε καὶ τῆς Εὐρώπης*.“ Coraës. *ἁπάσας* G *πάσας* V. 29 „*νήσους*] Cycladas intelligit, e quibus Minois aetate Caras eiecerunt. Panath. p. 241. Steph. et Aristid. Panath. p. 20. qui Aristides, remotis ab ora Graeciae barbaris, Aegaeum mare pacatum esse gloriatur, quod Wolfius e Thucydide (I, 8.) observarat: etsi Thuc. a Minoe expulsos esse tradidit (cf. Diod. Sic. IV, 6.), quod et Athenienses suo modo facere potuerunt, quanquam Minos fuit *θαλαττοκράτωρ*. Ceterum hoc beneficium denuo pluribus commendavit Panath. p. 267. Steph. e quo loco quaedam partes narrationis accuratius cognosci possunt. Totum autem bellum quo Graecia amplificata est ibid. p. 272. *πόλεμον περὶ τὴν κτίσιν τῶν ἀποικιῶν* appellat.“ Morus. „*ἀμφοτέρους*] Aristot. Rhet. III. 9, 7. locum memoriter sic protulit: *ἀμφοτέρους δ' ὤνησαν, καὶ τοὺς ὑπομ. καὶ τοὺς ἀκολ. τῶν μὲν γὰρ πλείω τοῖς οἴκοι προςεκτήσαντο, τοῖς δ' ἱκανὴν τοῖς οἴκοι κατέλιπον*.“ Morus. 32 „*ἅπαντα γὰρ περιεβάλοντο*] *Omnem terram sibi vindicarunt, occuparunt.* Ergo tenuerunt ampliorem ea, quam ante incoluerant regionem. Herodot. V, 25. *πόλιν περιβαλέσθαι*, *occupare.*“ Morus. 37 *ἐπιδείξειεν* om. pr. G.

P. 38, 1 *τὰς* add. G. 4 *εἰς* G *ἐπὶ* V. 6 *ἀρχὴν*

σιῶν, τροφὴν τοῖς δεομένοις εὑρεῖν, ἥνπερ χρὴ τοὺς μέλλοντας καὶ περὶ τῶν ἄλλων καλῶς διοικήσειν, ἡγουμένη δὲ τὸν βίον τὸν ἐπὶ τούτοις μόνον οὔπω τοῦ ζῆν ἐπιθυμεῖν ἀξίως ἔχειν οὕτως ἐπεμελήθη καὶ τῶν λοιπῶν ὥςτε τῶν παρόντων τοῖς ἀνθρώποις ἀγαθῶν, ὅσα μὴ παρὰ θεῶν ἔχομεν, ἀλλὰ δι' ἀλλήλους ἡμῖν γέγονε, μηδὲν μὲν ἄνευ τῆς πόλεως τῆς ἡμετέρας εἶναι, τὰ δὲ πλεῖστα διὰ ταύτην γεγενῆσθαι. παραλαβοῦσα γὰρ τοὺς Ἕλληνας ἀνόμως ζῶντας καὶ σποράδην οἰκοῦντας, καὶ τοὺς μὲν ὑπὸ δυναστειῶν ὑβριζομένους, τοὺς δὲ δι' ἀναρχίαν ἀπολλυμένους, καὶ τούτων τῶν κακῶν αὐτοὺς ἀπήλλαξε, τῶν μὲν κυρία γενομένη, τοῖς δ' αὑτὴν παράδειγμα ποιήσασα· πρώτη γὰρ καὶ νόμους ἔθετο καὶ πολιτείαν κατεστήσατο. δῆλον δ' ἐκεῖθεν· οἱ γὰρ ἐν ἀρχῇ περὶ τῶν φονικῶν ἐγκαλέσαντες, καὶ βουληθέντες μετὰ λόγου καὶ μὴ μετὰ βίας διαλύσασθαι τὰ πρὸς ἀλλήλους, ἐν τοῖς νόμοις τοῖς ἡμετέροις τὰς κρίσεις ἐποιήσαντο περὶ αὐτῶν. καὶ μὲν δὴ καὶ τῶν τεχνῶν τάς τε πρὸς τἀναγκαῖα τοῦ βίου χρησίμας καὶ τὰς πρὸς ἡδονὴν μεμηχανημένας, τὰς μὲν εὑροῦσα,
XI τὰς δὲ δοκιμάσασα χρῆσθαι τοῖς ἄλλοις παρέδωκεν. τὴν τοίνυν ἄλλην διοίκησιν οὕτω φιλοξένως κατεσκευάσατο καὶ πρὸς ἅπαντας οἰκείως ὥςτε καὶ τοῖς χρημάτων δεομένοις καὶ τοῖς ἀπολαῦσαι τῶν ὑπαρχόντων ἐπιθυμοῦσιν ἀμφοτέροις ἁρμόττειν, καὶ μήτε τοῖς εὐδαιμονοῦσι μήτε τοῖς δυςτυχοῦσιν ἐν

μὲν ταύτην ἐποιήσατο — εὑρεῖν] Isocrates p. 168, 31. (194 b.) λαβὼν δὲ ταύτην ἀφορμὴν — ἀμύνεσθαι. p. 197, 6. (224 b.) ἤρξατο ἐντεῦθεν — καταλαβεῖν. Haec comparavit Coraës. 8 καλῶς] καλῶν καλῶς G. 11 θεῶν G τῶν θεῶν V. 14 „ἀνόμως ζῶντας] Cicero pro Sext. 42. Inv. I, 2.“ Morus. „σποράδην οἰκοῦντας] Encom. Hel. p. 214. Steph. de Theseo: τὴν πόλιν σποράδην καὶ κατὰ κώμας οἰκοῦσαν εἰς ταὐτὸν συνήγαγε. Thucyd. II, 15.“ Morus. 18 „παράδειγμα ποιήσασα] Vid. omnino Thucyd. II, 37.“ Morus. „νόμους ἔθετο] Multa collegit Spanhem. ad Callim. H. in Cer. passim.“ Morus. 22 αὐτῶν G τούτων V. 23 τἀναγκαῖα G τὰ ἀναγκαῖα V. 25 ἄλλοις G λοιποῖς V. 28 καὶ τοῖς — δεομένοις καὶ τοῖς — ἐπιθυμοῖσιν — ἀμφοτέροις ἁρμόττει] Afferuntur haec in Bekkeri Anecd. 125, 13. et negligentius scripta apud Aristotelem Rhetor. III. 9, 7. Adverte ἀμφοτέροις postpositum. Lucilius, *Et formosus homo fuit et famosus*

*ταῖς αὐτῶν ἀχρήστως ἔχειν, ἀλλ᾽ ἑκατέροις αὐτῶν εἶναι παρ
ἡμῖν, τοῖς μὲν ἡδίστας διατριβάς, τοῖς δ᾽ ἀσφαλεστάτην
καταφυγήν. ἔτι δὲ τὴν χώραν οὐκ αὐτάρκη κεκτημένων ἑκά-* 49
*στων, ἀλλὰ τὰ μὲν ἐλλείπουσαν, τὰ δὲ πλείω τῶν ἱκανῶν φέ-
ρουσαν, καὶ πολλῆς ἀπορίας οὔσης τὰ μὲν ὅπου χρὴ διαθέ-
σθαι, τὰ δ᾽ ὁπόθεν εἰςαγαγέσθαι, καὶ ταύταις ταῖς συμφο-
ραῖς ἐπήμυνεν· ἐμπόριον γὰρ ἐν μέσῳ τῆς Ἑλλάδος τὸν Πει-
ραιᾶ κατεσκευάσατο, τοσαύτην ἔχονθ᾽ ὑπερβολὴν ὥςθ᾽ ἃ παρὰ*
39 *τῶν ἄλλων ἓν παρ᾽ ἑκάστων χαλεπόν ἐστι λαβεῖν, ταῦθ᾽ ἅπαν-
τα παρ᾽ αὐτῆς ῥᾴδιον εἶναι πορίσασθαι.*

XII *Τῶν τοίνυν τὰς πανηγύρεις καταστησάντων δικαίως ἐπαι-
νουμένων ὅτι τοιοῦτον ἔθος ἡμῖν παρέδοσαν ὥςτε σπεισαμέ-
νους πρὸς ἀλλήλους καὶ τὰς ἔχθρας τὰς ἐνεστηκυίας διαλυ-
σαμένους συνελθεῖν εἰς ταυτόν, καὶ μετὰ ταῦτ᾽ εὐχὰς καὶ θυ-
σίας κοινὰς ποιησαμένους ἀναμνησθῆναι μὲν τῆς συγγενείας
τῆς πρὸς ἀλλήλους ὑπαρχούσης, εὐμενεστέρως δ᾽ εἰς τὸν λοι-
πὸν χρόνον διατεθῆναι πρὸς ἡμᾶς αὐτούς, καὶ τάς τε πα-
λαιὰς ξενίας ἀνανεώσασθαι καὶ καινὰς ἑτέρας ποιήσασθαι,
καὶ μήτε τοῖς ἰδιώταις μήτε τοῖς διενεγκοῦσι τὴν φύσιν ἀρ-
γὸν εἶναι τὴν διατριβήν, ἀλλ᾽ ἀθροισθέντων τῶν Ἑλλήνων
ἐγγενέσθαι τοῖς μὲν ἐπιδείξασθαι τὰς αὐτῶν εὐεξίας, τοῖς*

---

utrumque. 30 *αὐτῶν* G *ἑαυτῶν* V. 34 „*διαθέσθαι*] H. e. *venum exponere.* Vide Harpocrat. in *διάθεσις.*" Coraës.
37 *κατεσκευάσατο* G *κατεστήσατο* V, *ἔχονθ᾽ ὑπερβολὴν ὥςθ᾽* G *ὑπερβολὴν ἔχον ὥςτε* V.

P. 39, 5 *πρὸς ἀλλήλους* om. G. 6 *καὶ μετὰ ταῦτ᾽* G *μετὰ δὲ τοῦτο* V. 10 *ἑτέρας* G *ἄλλας* V. 12 *ἀλλ᾽ ἀθ.* G *ἀλλὰ ἀθ.* V. *ἀθροίζειν*, quod Atticum esse docent grammatici, quum nusquam alibi in Isocrate praebeat liber Urbinas, hoc in loco prosodiam illam casui, non consilio deberi puto. Sic in eodem libro *ἀλῆται* scriptum in Busir. p. 201, 18. (229 a.), sed *ἀλῆται* in Plataic. p. 270, 7. (305 c). 13 *ἐγγενέσθαι* G *εἰς ἓν γενέσθαι* V. Aperta est corruptelae origo ex scriptura veteri *ΕΝΓΕΝΕϹΘΑΙ.* Quod pro *ἓν γενέσθαι* acceptum hebes aliquis corrector addita praepositione adiuvare studuit. In Antidosi 304, 27. *ἐγγένοιτο* G *ἂν γένοιτο* V. *αὐτῶν* G *ἑαυτῶν* V. *εὐεξίας*] Legebatur *εὐτυχίας*, eodem errore quem annotatione ad 32, 3. ex Urbinate consignavimus. Emendatum a Bekkero. *εὐτυχίας* si

δὲ θεάσασθαι τούτους πρὸς ἀλλήλους ἀγωνιζομένους, καὶ μηδετέρους ἀθύμως διάγειν, ἀλλ' ἑκατέρους ἔχειν ἐφ' οἷς φιλοτιμηθῶσιν, οἱ μὲν ὅταν ἴδωσι τοὺς ἀθλητὰς αὑτῶν ἕνεκα πονοῦντας, οἱ δ' ὅταν ἐνθυμηθῶσιν ὅτι πάντες ἐπὶ τὴν σφετέραν θεωρίαν ἥκουσι, — τοσούτων τοίνυν ἀγαθῶν διὰ τὰς συνόδους ἡμῖν γιγνομένων οὐδ' ἐν τούτοις ἡ πόλις ἡμῶν ἀπελείφθη. καὶ γὰρ θεάματα πλεῖστα καὶ κάλλιστα κέκτηται, τὰ μὲν ταῖς δαπάναις ὑπερβάλλοντα, τὰ δὲ κατὰ τὰς τέχνας εὐδοκιμοῦντα, τὰ δ' ἀμφοτέροις τούτοις διαφέροντα· καὶ τὸ πλῆθος τῶν εἰςαφικνουμένων ὡς ἡμᾶς τοσοῦτόν ἐστιν ὥςτ' εἴ τι ἐν τῷ πλησιάζειν ἀλλήλοις ἀγαθόν ἐστι, καὶ τοῦθ' ὑπ' αὐτῆς περιειλῆφθαι. πρὸς δὲ τούτοις καὶ φιλίας εὑρεῖν πιστοτάτας καὶ συνουσίαις ἐντυχεῖν παντοδαπωτάταις μάλιστα παρ' ἡμῖν ἔστιν, ἔτι δ' ἀγῶνας ἰδεῖν μὴ μόνον τάχους καὶ ῥώμης, ἀλλὰ καὶ λόγων καὶ γνώμης καὶ τῶν ἄλλων ἔργων 50
ἁπάντων, καὶ τούτων ἆθλα μέγιστα. πρὸς γὰρ οἷς αὐτὴ τίθησι, καὶ τοὺς ἄλλους διδόναι συναναπείθει· τὰ γὰρ ὑφ' ἡμῶν κριθέντα τοσαύτην λαμβάνει δόξαν ὥςτε παρὰ πᾶσιν ἀνθρώποις ἀγαπᾶσθαι. χωρὶς δὲ τούτων αἱ μὲν ἄλλαι πανηγύρεις διὰ πολλοῦ χρόνου συλλεγεῖσαι ταχέως διελύθησαν, ἡ δ' ἡμετέρα πόλις ἅπαντα τὸν αἰῶνα τοῖς ἀφικνουμένοις πανήγυρίς ἐστιν.

XIII Φιλοσοφίαν τοίνυν, ἣ πάντα ταῦτα συνεξεῦρε καὶ συγκατεσκεύασε, καὶ πρός τε τὰς πράξεις ἡμᾶς ἐπαίδευσε καὶ πρὸς

---

cui animus est defendere, utatur Isocratis verbis in oratione περὶ ζεύγους p. 339, 22. (353 e.) 16 αὑτῶν G ἑαυτῶν V. 23 εἰςαφικνουμένων G ἀφικνουμένων V. 25 φιλίας — ἐντυχεῖν afferuntur in Bekkeri Anecd. 137, 10. 26 Legebatur παντοδαπαῖς. παντοδαπωτάταις G: de quo pluribus dixi praefatione ad Isocratem p. IV. 27 μὴ G καὶ μὴ V. 33 „διὰ πολλοῦ χρόνου] *Post satis longi temporis intervallum*, ut Olympici, Pythici, Isthmici ludi statis temporibus repetuntur. Finitis ludis, domum quisque suam discedit. Sed Athenis perpetuus est hominum undiquaque congregatorum conventus, fitque semper, quod alibi fit tum, cum ludi celebrantur, per intervalla temporis longiora.“ Morus. 36 „Φιλοσοφίαν] Qualem descripsit Cicero Tusc. V, 2.“ Morus. 37 καὶ πρὸς ἀλλήλους ἐπράϋνε om. pr. G.

40 ἀλλήλους ἐπράϋνε, καὶ τῶν συμφορῶν τάς τε δι' ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας διεῖλε, καὶ τὰς μὲν φυλάξασθαι, τὰς δὲ καλῶς ἐνεγκεῖν ἐδίδαξεν, ἡ πόλις ἡμῶν κατέδειξε, καὶ λόγους ἐτίμησεν, ὧν πάντες μὲν ἐπιθυμοῦσι, τοῖς δ' ἐπισταμένοις φθονοῦσι, συνειδυῖα μὲν ὅτι τοῦτο μόνον ἐξ ἁπάντων τῶν ζώων ἴδιον ἔφυμεν ἔχοντες, καὶ διότι τούτῳ πλεονεκτήσαντες καὶ τοῖς ἄλλοις ἅπασιν αὐτῶν διηνέγκαμεν, ὁρῶσα δὲ περὶ μὲν τὰς ἄλλας πράξεις οὕτω ταραχώδεις οὔσας τὰς τύχας ὥστε πολλάκις ἐν αὐταῖς καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἀνοήτους κατορθοῦν, τῶν δὲ λόγων τῶν καλῶς καὶ τεχνικῶς ἐχόντων οὐ μετὸν τοῖς φαύλοις, ἀλλὰ ψυχῆς εὖ φρονούσης ἔργον ὄντας, καὶ τούς τε σοφοὺς καὶ τοὺς ἀμαθεῖς δοκοῦντας εἶναι ταύτῃ πλεῖστον ἀλλήλων διαφέροντας, ἔτι δὲ τοὺς εὐθὺς ἐξ ἀρχῆς ἐλευθέρως τεθραμμένους ἐκ μὲν ἀνδρίας καὶ πλούτου καὶ τῶν τοιούτων ἀγαθῶν οὐ γιγνωσκομένους, ἐκ δὲ τῶν λεγομένων μάλιστα καταφανεῖς γιγνομένους, καὶ τοῦτο σύμβολον τῆς παιδεύσεως ἡμῶν ἑκάστου πιστότατον ἀποδεδειγμένον, καὶ τοὺς λόγῳ καλῶς χρωμένους οὐ μόνον ἐν ταῖς αὑτῶν δυναμένους, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἐντίμους ὄντας. τοσοῦτον δ' ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τὸ φρονεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους ὥσθ' οἱ ταύτης μαθηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασι, καὶ τὸ τῶν 51
Ἑλλήνων ὄνομα πεποίηκε μηκέτι τοῦ γένους, ἀλλὰ τῆς διανοίας δοκεῖν εἶναι, καὶ μᾶλλον Ἕλληνας καλεῖσθαι τοὺς τῆς

P. 40, 4 „λόγους] Facultatem de partibus sapientiae, i. e. rebus divinis et humanis, probabiliter dicendi. Sic Xen. Mem. III. 3, 11. Idem IV, 6. διαλεκτικὴν appellat, et IV. 3, 12. ἑρμηνείαν: nam λόγος est eius, qui sensus animi interpretatur oratione et explicat. Vis eloquendi et oratio dicitur a Cicerone N. D. II, 59. Inv. I, 2. de Orat. I, 8. et alibi.“ Morus. 6 διότι G ὅτι V. Contra ὅτι G in Archidamo p. 101, 12. (119 b.) ἵν' ἐπίστησθε ὅτι ταύτην ὑμᾶς τὴν χώραν ἐπιχειροῦσιν ἀποστερεῖν, ubi V διότι. ἐνθυμεῖ διότι — κινδυνεύειν ὑπάρχει Isocrates περὶ τοῦ ζεύγους p. 341, 15. (355 e.). φανερὸν εἶναι διότι — κεκτημένοι τυγχάνομεν Archidamo p. 102, 25. (120 d.) τούτῳ] τούτων G. 10 κατορθοῦν] κατ ab correctore habet G. 14 εὐθὺς add. G. 18 λόγῳ G τῷ λόγῳ V. 20 δ' add. G. 21 τὸ G τοῦ V. 24 εἶναι G τεκμήριον εἶναι V.

παιδεύσεως τῆς ἡμετέρας ἢ τοὺς τῆς κοινῆς φύσεως μετέχοντας.

XIV Ἵνα δὲ μὴ δοκῶ περὶ τὰ μέρη διατρίβειν ὑπὲρ ὅλων τῶν πραγμάτων ὑποθέμενος μηδ᾽ ἐκ τούτων ἐγκωμιάζειν τὴν πόλιν ἀπορῶν τὰ πρὸς τὸν πόλεμον αὐτὴν ἐπαινεῖν, ταῦτα μὲν εἰρήσθω μοι πρὸς τοὺς ἐπὶ τοῖς τοιούτοις φιλοτιμουμένους. ἡγοῦμαι δὲ τοῖς προγόνοις ἡμῶν οὐχ ἧττον ἐκ τῶν κινδύνων τιμᾶσθαι προσήκειν ἢ τῶν ἄλλων εὐεργεσιῶν. οὐ γὰρ μικροὺς οὐδ᾽ ὀλίγους οὐδ᾽ ἀφανεῖς ἀγῶνας ὑπέμειναν, ἀλλὰ πολλοὺς καὶ δεινοὺς καὶ μεγάλους, τοὺς μὲν ὑπὲρ τῆς αὐτῶν χώρας, τοὺς δ᾽ ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας· ἅπαντα γὰρ τὸν χρόνον διετέλεσαν κοινὴν τὴν πόλιν παρέχοντες καὶ τοῖς ἀδικουμένοις ἀεὶ τῶν Ἑλλήνων ἐπαμύνουσαν. διὸ δὴ καὶ κατη-
41 γοροῦσί τινες ἡμῶν ὡς οὐκ ὀρθῶς βουλευομένων, ὅτι τοὺς ἀσθενεστέρους εἰθίσμεθα θεραπεύειν, ὥσπερ οὐ μετὰ τῶν ἐπαινεῖν βουλομένων ἡμᾶς τοὺς λόγους ὄντας τοὺς τοιούτους. οὐ γὰρ ἀγνοοῦντες ὅσον διαφέρουσιν αἱ μείζους τῶν συμμαχιῶν πρὸς τὴν ἀσφάλειαν οὕτως ἐβουλευόμεθα περὶ αὐτῶν, ἀλλὰ πολὺ τῶν ἄλλων ἀκριβέστερον εἰδότες τὰ συμβαίνοντ᾽ ἐκ τῶν τοιούτων ὅμως ᾑρούμεθα τοῖς ἀσθενεστέ-

---

26 *μετέχοντας* G *μετασχόντας* V. 28 *ὑποθέμενος* G *ὑποθέμενος ἐρεῖν* V. 29 „*τὰ πρὸς τὸν πόλεμον*] Quam materiam laudis hic et Panathenaici pluribus locis tractare instituit Isocrates, eam laudatori Atheniensium necessariam iudicavit Aristoteles Rhetoric. II, 22, 6. *Πῶς ἂν δυναίμεθα ἐπαινεῖν τοὺς Ἀθηναίους, εἰ μὴ ἔχοιμεν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ἢ τὴν ἐν Μαραθῶνι μάχην, ἢ τὰ ὑπὲρ Ἡρακλειδῶν πραχθέντα, ἢ τῶν ἄλλων τι τῶν τοιούτων.* Cicero quidem has res gestas *campum oratorum* dixit. V. Valckenar. ad Herodot. IX, 27.“ Morus. 31 — 50, 2 repetuntur in Antidosi p. 322. HSt. (19 — 35. ed Orell.) ubi prima tantum et extrema verba apposuit G. 31 *τοῖς προγόνοις*] Vide ad 36, 11. *κινδύνων* G *κινδύνων τῶν πρὸς τὸν πόλεμον* V. Semel moneo Ambrosianum Antidoseos Mustoxydae pleraque omnia communia habere cum Urbinate Panegyrici. 36. 37 *καὶ — ἐπαμύνουσαν*] Bekker. Anecd. 125, 18.

P. 41, 5 *ἐβουλευόμεθα* G *ἐβουλευσάμεθα* V. 7 „Auctor sententiae Lysias Epitaph. p. 36. *ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι μᾶλλον ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς*

ροις καὶ παρὰ τὸ συμφέρον βοηθεῖν μᾶλλον ἢ τοῖς κρείττοσι τοῦ λυσιτελοῦντος ἕνεκα συναδικεῖν.

XV Γνοίη δ᾽ ἄν τις καὶ τὸν τρόπον καὶ τὴν ῥώμην τὴν τῆς πόλεως ἐκ τῶν ἱκετειῶν ἃς ἤδη τινὲς ἡμῖν ἐποιήσαντο. τὰς μὲν οὖν ἢ νεωστὶ γεγενημένας ἢ περὶ μικρῶν ἐλθούσας παραλείψω· πολὺ δὲ πρὸ τῶν Τρωικῶν, ἐκεῖθεν γὰρ δίκαιον τὰς πίστεις λαμβάνειν τοὺς ὑπὲρ τῶν πατρίων ἀμφισβητοῦντας, ἦλθον οἵ θ᾽ Ἡρακλέους παῖδες καὶ μικρὸν πρὸ τούτων Ἄδραστος ὁ Ταλαοῦ, βασιλεὺς ὢν Ἄργους, οὗτος μὲν ἐκ τῆς στρατείας τῆς ἐπὶ Θήβας δεδυστυχηκώς, καὶ τοὺς ὑπὸ τῇ Καδ- 52
μείᾳ τελευτήσαντας αὐτὸς μὲν οὐ δυνάμενος ἀνελέσθαι, τὴν δὲ πόλιν ἀξιῶν βοηθεῖν ταῖς κοιναῖς τύχαις καὶ μὴ περιορᾶν τοὺς ἐν τοῖς πολέμοις ἀποθνήσκοντας ἀτάφους γιγνομένους μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον καταλυόμενον, οἱ δ᾽ Ἡρακλέους παῖδες φεύγοντες τὴν Εὐρυσθέως ἔχθραν, καὶ τὰς

ὑπ᾽ ἐκείνων ἀδικουμένους ἐκδοῦναι." Morus. 10 alterum τὴν add. G. 11 ἡμῖν G ἡμῶν V, quod negligenti librario excidit propter ἤδη τινές. 14 ὑπὲρ G περὶ V. 17 τῆς ἐπὶ Θήβας δεδ. G δεδ. τῆς ἐπὶ Θήβας V. „Est haec expeditio illorum, qui plerumque οἱ ἑπτὰ ἐπὶ Θήβας dicuntur, ab Aeschylo, Euripide, Statio celebrata; a Diod. Sic. IV, 64. 65. narrata. Laudavit Lysias Epitaph. p. 31. virtutem Atheniensium in hoc bello. Cf. Isocr. Panath. p. 269. Steph. quo loco ipse fatetur, se in Panegyrico aliter narrasse: quae diversitas in eo est, quod hoc loco Athenienses bello oppugnasse Thebas traduntur, in Panathenaico missa legatione Thebanos permovisse ut occisorum corpora humanda redderent. In Plataico p. 306. ubi eadem res exponitur, ambigue dicit, coactos esse Thebanos νομιμώτερον βουλεύσασθαι. Lysias primum legatione, deinde bello repetitos mortuos docet. Non pugnat Herodotus IX, 27. cum Argivorum ducem Polynicen appellat: hic enim, ab Eteocle fratre Thebis pulsus, ad Adrastum confugit, ab eoque exercitum accepit: quare primi ducum fuerunt οἱ περὶ τὸν Ἄδραστον καὶ Πολυνείκην. Diod. Sic. l. c." Morus. ὑπὸ τῇ Καδμείᾳ] Isocrates p. 185, 23. (214 b.) 271, 13. (306 e). Xenophon Hellen. VI. 5, 46. Aristid. Panathen. p. 24. Haec indicavit Morus. 19 πόλιν G πόλιν ἡμῶν V. 21 οἱ δ᾽ Ἡρ. παῖδες G οἱ δὲ παῖδες Ἡρ. V. 22 „φεύγοντες] Heraclidarum eiectio e Peloponneso et reditus est antiquae historiae Graecae nobilissima pars. Diod. Sic. IV, 57. Cf. Lysias Epitaph. p. 34.

μὲν ἄλλας πόλεις ὑπερορῶντες ὡς οὐκ ἂν δυναμένας βοηθῆσαι ταῖς αὐτῶν συμφοραῖς, τὴν δ' ἡμετέραν ἱκανὴν νομίζοντες εἶναι μόνην ἀποδοῦναι χάριν ὑπὲρ ὧν ὁ πατὴρ αὐτῶν ἅπαντας ἀνθρώπους εὐεργέτησεν. ἐκ δὴ τούτων ῥᾴδιον κατιδεῖν ὅτι καὶ κατ' ἐκεῖνον τὸν χρόνον ἡ πόλις ἡμῶν ἡγεμονικῶς εἶχε [καὶ νῦν οὐκ ἀδίκως ἀμφισβητεῖ περὶ τῆς ἡγεμονίας]· τίς γὰρ ἂν ἱκετεύειν τολμήσειεν ἢ τοὺς ἥττους αὐτοῦ ἢ τοὺς ὑφ' ἑτέροις ὄντας, παραλιπὼν τοὺς μείζω δύναμιν ἔχοντας, ἄλλως τε καὶ περὶ πραγμάτων οὐκ ἰδίων, ἀλλὰ κοινῶν καὶ περὶ ὧν οὐδένας ἄλλους εἰκὸς ἦν ἐπιμεληθῆναι πλὴν τοὺς προεστάναι τῶν Ἑλλήνων ἀξιοῦντας. ἔπειτ' οὐδὲ ψευσθέντες φαίνονται τῶν ἐλπίδων δι' ἃς κατέφυγον ἐπὶ τοὺς προγόνους ἡμῶν. ἀνελόμενοι γὰρ πόλεμον ὑπὲρ μὲν τῶν τελευτησάντων πρὸς Θηβαίους, ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους πρὸς τὴν Εὐρυσθέως δύναμιν, τοὺς μὲν ἐπιστρατεύ-
42 *σαντες ἠνάγκασαν ἀπαδοῦναι θάψαι τοὺς νεκροὺς τοῖς προσήκουσι, Πελοποννησίων δὲ τοὺς μετ' Εὐρυσθέως εἰς τὴν χώ-*

Aristides Panath p. 17. Euripides in Heraclidis." MORUS. 24 *ἑαυτῶν* G et Ambrosianus: alii Antidoseos libri *αὐτῶν*. 26 *εὐεργέτησεν* G *εὐηργέτησεν* V. „Hinc Hercules in Lucian. dial. Deor. 13. init. T. I. p. 236. *Τοσαῦτα πεπόνηκα*, inquit, *ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος, καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος.*" MORUS. 27 *ὅτι καὶ κατ'*] *ὅτι κατ'* Laurentianus in Antidosi. 28 *καὶ νῦν οὐκ ἀδίκως ἀμφισβητεῖ περὶ τῆς ἡγεμονίας* in G et libris Antidoseos vulgatis codiceque Coraïs omissa seclusit Bekkerus: in Antidosi addunt Ambrosianus et Laurentianus. Traducta autem huc sunt ex p. 35, 4. 29 *τίς — τολμήσειεν — αὐτοῦ — παραλιπὼν* G *τίνες — τολμήσαιεν — αὐτῶν — παραλιπόντες* V. 33 *τοὺς — ἀξιοῦντας* Antidosis p. 21, 20. Orell. *τοὺς — ἀξιοῦν* G *τῶν ἀξιούντων* V. 35 *πόλεμον* G *τὸν πόλεμον* V.

P. 42, 1 „*ἐπιστρατεύσαντες ἠνάγκασαν*] Isocrates h. l. facit cum Euripide in Supplic., quem Plutarchus falsi arguit in Theseo c. 28. (*οὐχ ὡς Εὐριπίδης ἐποίησεν, μάχῃ τῶν Θηβαίων κρατήσας, ἀλλὰ πείσας καὶ σπεισάμενος·*) et in Helenae Encom. p. 214. (quanquam in Panathenaico aliam sententiam tueri videtur) itemque Pausan. Attic. c. 39." MORUS. „*τοὺς νεκροὺς*] Iustin. VI, 6. *Corpora interfectorum ad sepulturam poscere est apud Graecos signum victoriae traditae.*" MORUS. 3 *Πελοποννησίους — ἐνίκησαν*]

XVII γενομένους τῶν ὑποδεξαμένων. ἔτι δὲ συντομώτερον ἔχω δηλῶσαι περὶ αὐτῶν. τῶν μὲν γὰρ Ἑλληνίδων πόλεων χωρὶς τῆς ἡμετέρας, Ἄργος καὶ Θῆβαι καὶ Λακεδαίμων καὶ τότ' 43 ἦσαν μέγισται καὶ νῦν ἔτι διατελοῦσι. φαίνονται δ' ἡμῶν οἱ πρόγονοι τοσοῦτον ἁπάντων διενεγκόντες ὥςθ' ὑπὲρ μὲν Ἀργείων δυςτυχησάντων Θηβαίοις, ὅτε μέγιστον ἐφρόνησαν, ἐπιτάττοντες, ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους Ἀργείους καὶ τοὺς ἄλλους Πελοποννησίους μάχῃ κρατήσαντες, ἐκ δὲ τῶν πρὸς Εὐρυσθέα κινδύνων τοὺς οἰκιστὰς καὶ τοὺς ἡγεμόνας τοὺς Λακεδαιμονίων διασώσαντες. ὥςτε περὶ μὲν τῆς ἐν τοῖς Ἕλλησι δυναστείας οὐκ οἶδ' ὅπως ἄν τις σαφέστερον ἐπιδεῖξαι δυνηθείη. 54

XVIII Δοκεῖ δέ μοι καὶ περὶ τῶν πρὸς τοὺς βαρβάρους τῇ πόλει πεπραγμένων προςήκειν εἰπεῖν, ἄλλως τ' ἐπειδὴ καὶ τὸν λόγον κατεστησάμην περὶ τῆς ἡγεμονίας τῆς ἐπ' ἐκείνους. ἅπαντας μὲν οὖν ἐξαριθμῶν τοὺς κινδύνους λίαν ἂν μακρολογοίην· ἐπὶ δὲ τῶν μεγίστων τὸν αὐτὸν τρόπον ὅνπερ ὀλίγῳ πρότερον πειράσομαι καὶ περὶ τούτων διελθεῖν· ἔστι γὰρ

δὴ — αὐτοχθόνων] Bekkeri Anecd. 148, 1. 35 συντομώτερον G συντομωτέρως V. Vid. ad 51, 25.

P. 43, 2 ὥςθ' ὑπὲρ] ὥςθ' omittit liber Laurentianus in Antid. p. 23, 20. ex librarii, ut videtur, coniectura. 5 κρατήσαντες G νικήσαντες V. 6 τῶν — κινδύνων G τοῦ — κινδύνου V. τοὺς οἰκιστὰς G τοὺς οἰκιστὰς τῆς Σπάρτης V. 10 τῶν πρὸς G et Antid. τῶν πρότερον τῶν πρὸς edd. vett. τῶν πρότερον πρὸς Ambros. in Antid. 12 τὸν λόγον κατεστηστάμην] Eisdem verbis utitur p. 134, 1. (155 e). 14 μεγίστων] στὰς add. Ambrosianus et Vaticanus in Antid. p. 24, 7.: non habet Priscianus vol. II. p. 226. ed. Krehl, qui haec ἐπὶ δὲ — διελθεῖν attulit. Et recte abest στὰς, quod ab grammatico aliquo profectum esse apparet. Ut in Euagora p. 169, 34. (195 c.) dixit ἣν προελόμενοι τοὺς εὐδοκιμωτάτους, ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν χεῖρον ἐξετῶμεν *), ita hic ἐπὶ τῶν μεγίστων διελθεῖν περὶ τούτων. καὶ ταῦτ' ἴδοι τις ἂν ἐπὶ τῶν μεγίστων in orat. de pace p. 156, 2. (181 a). Coraës ἐπὶ in περὶ mutabat in annotatione p. 39. 15 πρότερον

---

*) ἐξετῶμεν G ἕξομεν V. Grammaticus in Bekkeri Anecdotis p. 251, 32. ἐξετῶμεν: ἐξετάσομεν. Qui hunc ipsum oratoris locum in mente habuisse videtur.

ἀρχικώτατα μὲν τῶν γενῶν καὶ μεγίστας δυναστείας ἔχοντα Σκύθαι καὶ Θρᾷκες καὶ Πέρσαι, τυγχάνουσι δ' οὗτοι μὲν ἅπαντες ἡμῖν ἐπιβουλεύσαντες, ἡ δὲ πόλις πρὸς ἅπαντας τούτους διακινδυνεύσασα. καίτοι τί λοιπὸν ἔσται τοῖς ἀντιλέγουσιν, ἢν ἐπιδειχθῶσι τῶν μὲν Ἑλλήνων οἱ μὴ δυνάμενοι τυγχάνειν τῶν δικαίων ἡμᾶς ἱκετεύειν ἀξιοῦντες, τῶν δὲ βαρβάρων οἱ βουλόμενοι καταδουλώσασθαι τοὺς Ἕλληνας ἐφ' ἡμᾶς πρώτους ἰόντες;

XIX *Ἐπιφανέστατος μὲν οὖν τῶν πολέμων ὁ Περσικὸς γέγονεν, οὐ μὴν ἐλάττω τεκμήρια τὰ παλαιὰ τῶν ἔργων ἐστὶ τοῖς περὶ τῶν πατρίων ἀμφισβητοῦσιν. ἔτι γὰρ ταπεινῆς οὔσης τῆς Ἑλλάδος ἦλθον εἰς τὴν χώραν ἡμῶν Θρᾷκες μὲν μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος, Σκύθαι δὲ μετ' Ἀμαζόνων τῶν Ἄρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον, ἀλλὰ καθ' ὃν ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον, μισοῦντες μὲν ἅπαν τὸ τῶν Ἑλλήνων γένος, ἰδίᾳ δὲ πρὸς ἡμᾶς ἐγκλήματα ποιησάμενοι,*

G et Priscianus *πρότερον διῆλθον* V. 16 „*ἀρχικώτατα*] Putem esse populos imperantes late, quos Cic. Or. c. 34. *imperiosos* dixit. De imperio Thracum et Scytharum praeter Herodotum vid. c. 19. *καθ' ὃν χρόνον ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον*, quibus convenit, quod apud Xenoph. Mem. II. 1, 10. Socrates de sua aetate loquitur: *ἐν τῇ Εὐρώπῃ* (quatenus non paret Graecis) *Σκύθαι μὲν ἄρχουσι, Μαιῶται δὲ ἄρχονται.* Etiam Thucydides II, 96. sqq. utriusque populi opes describit: quae saltem sunt argumenta vetustae magnitudinis.“ Morus. *γενῶν* G *ἐθνῶν* V. 18 *πόλις* G *ἡμετέρα πόλις* V. 22 „Idem iudicium de bellis Persicis Lysiae in Epitaph. p. 41.“ Morus. 25 *ἐλάττω* G *ἐλάττω τούτων* V. 26 „*ταπεινῆς οὔσης τῆς Ἑλλάδος*] Est illa Graecia, quam Isocrates c. 9. init. descripsit. Etiam latine dicitur *humilis civitas*, Caes. B. G. VII, 54. quo loco verbum *humilis* in hac re perspicue explicatur.“ Morus. 27 „*Θρᾷκες*] Tempore Erechthei. Panath. p. 273. Thucyd. II, 15. Lycurg. in Leocrat. c. 24. Xen. Memor. III. 5, 10. Dicitur Eleusinium bellum, quia Eumolpus dux Eleusiniorum fuit, quibuscum Athenienses de finibus contenderunt. Thuc. II, 15. Meurs. de regno Att. II, 8.“ Morus. 28 „*Σκύθαι*] Tempore Thesei. Panath. l. c. Lysias Epitaph. p. 28. Plutarch. Thes. c. 27. Aristid. Panath. p. 25. Iustin. II. 4, 26. Amazonum *ἐγκλήματα* fuerunt, raptam esse a

XXII. *Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους καὶ μεγίστων ἐπαίνων*
45 *ἀξίους ἡγοῦμαι γεγενῆσθαι τοὺς τοῖς σώμασιν ὑπὲρ τῆς Ἑλ-*
λάδος προκινδυνεύσαντας· οὐ μὴν οὐδὲ τῶν πρὸ τοῦ πολέ- 56
μου τούτου γενομένων καὶ δυναστευσάντων ἐν ἑκατέρᾳ τοῖν
πολέοιν δίκαιον ἀμνημονεῖν· ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκή-
σαντες τοὺς ἐπιγιγνομένους καὶ τὰ πλήθη προτρέψαντες ἐπ᾽
ἀρετὴν καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς βαρβάροις ποιήσαν-
τες. οὐ γὰρ ὠλιγώρουν τῶν κοινῶν, οὐδ᾽ ἀπέλαυον μὲν ὡς
ἰδίων, ἠμέλουν δ᾽ ὡς ἀλλοτρίων, ἀλλ᾽ ἐκήδοντο μὲν ὡς οἰ-
κείων, ἀπείχοντο δ᾽ ὥςπερ χρὴ τῶν μηδὲν προσηκόντων· οὐ-
δὲ πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον, ἀλλ᾽ οὗτος ἐδό-
κει πλοῦτον ἀσφαλέστατον κεκτῆσθαι καὶ κάλλιστον ὅςτις
τοιαῦτα τυγχάνοι πράττων ἐξ ὧν αὐτός τε μέλλοι μάλιστ᾽ εὐ-
δοκιμήσειν καὶ τοῖς παισὶ μεγίστην δόξαν καταλείψειν. οὐδὲ
τὰς θρασύτητας τὰς ἀλλήλων ἐζήλουν, οὐδὲ τὰς τόλμας τὰς
αὑτῶν ἤσκουν, ἀλλὰ δεινότερον μὲν ἐνόμιζον εἶναι κακῶς
ὑπὸ τῶν πολιτῶν ἀκούειν ἢ καλῶς ὑπὲρ τῆς πόλεως ἀποθνή-
σκειν, μᾶλλον δ᾽ ᾐσχύνοντ᾽ ἐπὶ τοῖς κοινοῖς ἁμαρτήμασιν ἢ
νῦν ἐπὶ τοῖς ἰδίοις τοῖς σφετέροις αὐτῶν. τούτων δ᾽ ἦν αἴ-
τιον ὅτι τοὺς νόμους ἐσκόπουν ὅπως ἀκριβῶς καὶ καλῶς ἕξου-
σιν, οὐχ οὕτω τοὺς περὶ τῶν ἰδίων συμβολαίων ὡς τοὺς πε-
ρὶ τῶν καθ᾽ ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων· ἠπίσταντο

---

37 „*Πλείστων — ἡγοῦμαι*] Haec posuit Dion. Hal. T. II. p. 99. v. 23. Sylburg. in exemplis nimiae concinnitatis. Idem p. 96. totum hoc caput summatim enarravit.“ MORUS.

P. 45, 2 „*προκινδυνεύσαντας*] Cum Miltiade et Themistocle. Cf. Lycurg. in Leocr. c. 12.“ MORUS. „Conf. annotat. ad Heliodor. p. 165.“ CORAES. 3 *γενομένων* G *γεγενημένων* V. *δυναστευσάντων ἐν ἑκατέρᾳ τοῖν* G *δυναστευόντων ἑκατέρᾳ ταῖν* V. 6 *ἀρετὴν* G *ἀρετῇ* V. 12 *τοιαῦτα τυγχάνοι* Bekkerus. *αὐτὰ τυγχάνοι* G et Ambrosianus in Antidosi 27, 14. *τυγχάνοι τοιαῦτα* V. 13 *οὐδὲ* G *οὐδὲ γὰρ* V. 14 *τὰς ἀλλ.* G *ἀλλ.* V. 15 *αὑτῶν* G *καθ᾽ ἑαυτῶν* V. *μὲν* add. G. *κακῶς* G *τὸ κακῶς* V. 16 *πόλεως ἀποθνήσκειν* G *πατρίδος ἀποθανεῖν* V. 21 *τὴν* add. G. Vid. ad 36, 22. „*τῶν κ. ἑ. ἡ. ἐπιτ.*] Quales fuerunt Lycurgi leges, quae disciplinam constituerunt. Areop. p. 147. *οὐκ ἐκ τῶν γραμμάτων* (legibus scriptis) *ἡ ἐπίδοσις τῆς ἀρετῆς ἐστιν, ἀλλ᾽ ἐκ τῶν καθ᾽ ἑκάστην ἡμέραν ἐπιτηδευμάτων.*“ MORUS.

γὰρ ὅτι τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει πολλῶν γραμμάτων, ἀλλ' ἀπ' ὀλίγων συνθημάτων ῥᾳδίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν ὁμονοήσουσιν. οὕτω δὲ πολιτικῶς εἶχον ὥςτε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους οὐχ ὁπότεροι τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν ἄρξουσιν, ἀλλ' ὁπότεροι φθήσονται τὴν πόλιν ἀγαθόν τι ποιήσαντες· καὶ τὰς ἑταιρίας συνῆγον οὐχ ὑπὲρ τῶν ἰδίᾳ συμφερόντων, ἀλλ' ἐπὶ τῇ τοῦ πλήθους ὠφελίᾳ. τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ τῶν ἄλλων διῴκουν, θεραπεύοντες, ἀλλ' οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας, καὶ στρατηγεῖν οἰόμενοι δεῖν, ἀλλὰ μὴ τυραννεῖν αὐτῶν, καὶ μᾶλλον ἐπιθυμοῦντες ἡγεμόνες ἢ δεσπόται προςαγορεύεσθαι καὶ σωτῆρες, ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι, τῷ ποιεῖν εὖ προςαγόμενοι τὰς πόλεις, ἀλλ' οὐ βίᾳ καταστρεφόμενοι, πιστοτέροις μὲν τοῖς λόγοις ἢ νῦν τοῖς 57
ὅρκοις χρώμενοι, ταῖς δὲ συνθήκαις ὥςπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες, οὐχ οὕτως ἐπὶ ταῖς δυναστείαις μέγα φρονοῦντες
46 ὡς ἐπὶ τῷ σωφρόνως ζῆν φιλοτιμούμενοι, τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους ἥνπερ τοὺς κρείττους πρὸς σφᾶς αὐτούς, ἴδια μὲν ἄστη τὰς αὑτῶν πόλεις ἡγούμενοι, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα νομίζοντες εἶναι.

XIII Τοιαύταις διανοίαις χρώμενοι, καὶ τοὺς νεωτέρους ἐν τοῖς τοιούτοις ἤθεσι παιδεύοντες, οὕτως ἄνδρας ἀγαθοὺς ἀπέδειξαν τοὺς πολεμήσαντας πρὸς τοὺς ἐκ τῆς Ἀσίας ὥςτε μηδένα πώποτε δυνηθῆναι περὶ αὐτῶν μήτε τῶν ποιητῶν μήτε τῶν σοφιστῶν ἀξίως τῶν ἐκείνοις πεπραγμένων εἰπεῖν. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην· ὁμοίως γάρ ἐστι χαλεπὸν ἐπαινεῖν τοὺς ὑπερβεβληκότας τὰς τῶν ἄλλων ἀρετὰς ὥςπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας· τοῖς μὲν γὰρ οὐχ ὕπεισι

---

27 φθήσονται G ὀφθήσονται V. Infra 47, 15. οἱ δὲ φθῆναι συμβαλόντες praebuit Urbinas. Nicocle p. 24, 12. ὥςτε καὶ λαθεῖν καὶ φθῆναι Coraës. Legebatur ὀφθῆναι. 28 ἑταιρίας] ἑταιρείας G tum hic tum p. 30, 8. 334, 8. Contra in Demosthene 560. 851. 1137. 1335. libri optimi ἑταιρίαν tuentur. In Isocrate vocalem praebet G p. 2, 29. 63, 29. 29 Scribebatur ὠφελείᾳ. P. 46, 3 ἄστη] α τη G. αυτῶν G ἑαυτῶν V. 4 Ἑλλάδα] αὑτῶν (αὑτῶν Ambr. Antid. 28, 24.) πόλιν G. 6 τοῖς add. G. 11 ὑπερβεβληκότας G ὑπερβεβηκότας V. Eandem corrupte-

XXII. Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους καὶ μεγίστων ἐπαίνων
45 ἀξίους ἡγοῦμαι γεγενῆσθαι τοὺς τοῖς σώμασιν ὑπὲρ τῆς Ἑλλάδος προκινδυνεύσαντας· οὐ μὴν οὐδὲ τῶν πρὸ τοῦ πολέ- 56
μου τούτου γενομένων καὶ δυναστευσάντων ἐν ἑκατέρᾳ τοῖν πολέοιν δίκαιον ἀμνημονεῖν· ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους καὶ τὰ πλήθη προτρέψαντες ἐπ' ἀρετὴν καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς βαρβάροις ποιήσαντες. οὐ γὰρ ὠλιγώρουν τῶν κοινῶν, οὐδ' ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δ' ὡς ἀλλοτρίων, ἀλλ' ἐκήδοντο μὲν ὡς οἰκείων, ἀπείχοντο δ' ὥςπερ χρὴ τῶν μηδὲν προςηκόντων· οὐδὲ πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον, ἀλλ' οὗτος ἐδόκει πλοῦτον ἀσφαλέστατον κεκτῆσθαι καὶ κάλλιστον ὅςτις τοιαῦτα τυγχάνοι πράττων ἐξ ὧν αὐτός τε μέλλοι μάλιστ' εὐδοκιμήσειν καὶ τοῖς παισὶ μεγίστην δόξαν καταλείψειν. οὐδὲ τὰς θρασύτητας τὰς ἀλλήλων ἐζήλουν, οὐδὲ τὰς τόλμας τὰς αὐτῶν ἤσκουν, ἀλλὰ δεινότερον μὲν ἐνόμιζον εἶναι κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν ἢ καλῶς ὑπὲρ τῆς πόλεως ἀποθνήσκειν, μᾶλλον δ' ᾐσχύνοντ' ἐπὶ τοῖς κοινοῖς ἁμαρτήμασιν ἢ νῦν ἐπὶ τοῖς ἰδίοις τοῖς σφετέροις αὐτῶν. τούτων δ' ἦν αἴτιον ὅτι τοὺς νόμους ἐσκόπουν ὅπως ἀκριβῶς καὶ καλῶς ἕξουσιν, οὐχ οὕτω τοὺς περὶ τῶν ἰδίων συμβολαίων ὡς τοὺς περὶ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων· ἠπίσταντο

---

37 „Πλείστων — ἡγοῦμαι] Haec posuit Dion. Hal. T. II. p. 99. v. 23. Sylburg. in exemplis nimiae concinnitatis. Idem p. 96. totum hoc caput summatim enarravit." Morus.

P. 45, 2 „προκινδυνεύσαντας] Cum Miltiade et Themistocle. Cf. Lycurg. in Leocr. c. 12." Morus. „Conf. annotat. ad Heliodor. p. 165." Coraës. 3 γενομένων G γεγενημένων V. δυναστευσάντων ἐν ἑκατέρᾳ τοῖν G δυναστευόντων ἑκατέρᾳ ταῖν V. 6 ἀρετὴν G ἀρετῇ V. 12 τοιαῦτα τυγχάνοι Bekkerus. αὐτὰ τυγχάνοι G et Ambrosianus in Antidosi 27, 14. τυγχάνοι τοιαῦτα V. 13 οὐδὲ G οὐδὲ γὰρ V. 14 τὰς ἀλλ. G ἀλλ. V. 15 αὐτῶν G καθ' ἑαυτῶν V. μὲν add. G. κακῶς G τὸ κακῶς V. 16 πόλεως ἀποθνήσκειν G πατρίδος ἀποθανεῖν V. 21 τὴν add. G. Vid. ad 36, 22. „τῶν κ. ἑ. ἡ. ἐπιτ.] Quale fuerunt Lycurgi leges, quae disciplinam constituerunt. Areop. p 147. οὐκ ἐκ τῶν γραμμάτων (legibus scriptis) ἡ ἐπίδοσις τῆς ἀρετῆς ἐστὶν, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην ἡμέραν ἐπιτηδευμάτων." Moru

σαν οἱ μὲν μετασχεῖν τῶν κινδύνων, οἱ δὲ φθῆναι συμβα-
XXV λόντες πρὶν ἐλθεῖν τοὺς βοηθήσοντας. μετὰ δὲ ταῦτα γενομένης τῆς ὕστερον στρατείας, ἣν αὐτὸς Ξέρξης ἤγαγεν, ἐκλιπὼν μὲν τὰ βασίλεια, στρατηγὸς δὲ καταστῆναι τολμήσας, ἅπαντας δὲ τοὺς ἐκ τῆς Ἀσίας συναγείρας· περὶ οὗ τίς οὐχ ὑπερβολὰς προθυμηθεὶς εἰπεῖν ἐλάττω τῶν ὑπαρχόντων εἴρηκεν; ὃς εἰς τοσοῦτον ἦλθεν ὑπερηφανίας ὥςτε μικρὸν μὲν ἡγησάμενος ἔργον εἶναι τὴν Ἑλλάδα χειρώσασθαι, βουληθεὶς δὲ τοιοῦτον μνημεῖον καταλιπεῖν ὃ μὴ τῆς ἀνθρωπίνης φύσεώς ἐστιν, οὐ πρότερον ἐπαύσατο πρὶν ἐξεῦρε καὶ συνηνάγκασεν ὃ πάντες θρυλοῦσιν, ὥςτε τῷ στρατοπέδῳ πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ' Ἄθω διορύξας. πρὸς δὴ τὸν οὕτω 59
μέγα φρονήσαντα καὶ τηλικαῦτα διαπραξάμενον καὶ τοσούτων δεσπότην γενόμενον ἀπήντων διελόμενοι τὸν κίνδυνον, Λακεδαιμόνιοι μὲν εἰς Θερμοπύλας πρὸς τὸ πεζὸν, χιλίους

---

citus, (Liv. III, 18. *agmine in forum descendunt.* Id. III, 50. *eunt agmine in urbem.*) ergo cum armis servatoque ordine, ut solet *στρατόπεδον* aut agmen, non palantes, quale iter paullo plus difficultatis et tarditatis habet, et imparatos obiicit hosti. Pertinet loquendi modus ad augendam admirationem celeritatis.“ Morus.

15 *φθῆναι* G *ὀφθῆναι* V. Vid. ad 45, 27. 17 „Cum hac Xerxis descriptione Lysias in Epit. p. 45. 46. conferendus est, e quo nonnulla ad verbum repetiit Isocrates.“ Morus. 20 „Exemplum *ὑπερβολῶν* erat, flumina siccata esse. Iustin II, 10. Alia Isocrates ipse tangit.“ Morus. 21 *ὑπερηφανίας* G *ὑπερηφανείας* V. 24 *συνηνάγκασεν*] *ναγ* ab correctore habet G. 25 *θρυλοῦσιν* G *θρυλλοῦσιν* V. 28 *μέγα* in Antidosi 31, 19. om. Ambros. Vid. Orellium p. 228. 30 „*χιλίους*] Etsi Herodotus VII, 202. 205. trecentos tantum commemoravit, tamen dissensus componi potest. Nam quum trecenti dicuntur, intelligendi sunt patres familias, cives Spartani, diligentissime ex toto populo delecti, quod idem diserte tradit c. 205. Quum mille nominantur, addendi sunt trecentis illis civibus Helotes, quorum duobus vel tribus quisque civis stipatus esse solebat, id quod in universum monuit Isocrates Panath. p. 270. et accurate demonstravit Wesseling. ad Herodot. VII, 222. VIII, 25. Cf. Thucyd. IV, 8. *Λακεδαιμόνιοι εἴκοσι καὶ τετρακόσιοι, καὶ Εἵλωτες οἱ περὶ αὐτούς.* In Plutarchi Aristide c. 10. de Spartanis militibus

αὐτῶν ἐπιλέξαντες καὶ τῶν συμμάχων ὀλίγους παραλαβόντες, ὡς ἐν τοῖς στενοῖς κωλύσοντες αὐτοὺς περαιτέρω προελθεῖν, οἱ δ' ἡμέτεροι πατέρες ἐπ' Ἀρτεμίσιον, ἑξήκοντα τριήρεις πληρώσαντες πρὸς ἅπαν τὸ τῶν πολεμίων ναυτικόν. ταῦτα δὲ ποιεῖν ἐτόλμων οὐχ οὕτω τῶν πολεμίων καταφρονοῦντες ὡς πρὸς ἀλλήλους ἀγωνιῶντες, Λακεδαιμόνιοι μὲν ζηλοῦντες τὴν πόλιν τῆς Μαραθῶνι μάχης, καὶ ζητοῦντες αὐτοὺς ἐξισῶσαι,

---

est, ὧν ἕκαστος ἑπτὰ περὶ αὐτὸν Εἵλωτας εἶχε. Add. Xen. Hellen. VI. 5, 28. Neque vero mirandum est, cur, quum etiam de Helotibus Isocrates loquatur, dixerit, *mille e suis delegerunt*, quoniam Helotes quoque dicuntur Lacedaemonii, iisque in recensione exercitus sic annumerantur, ut Lacedaemonii, e quorum numero etiam Helotes sunt, opponantur Spartanis, qui sunt cives Spartani. In quam rem insignis est locus Xenoph. Hellen. VI. 4, 15. ubi narratur, συμπάντων Λακεδαιμονίων mille obiisse, inter quos fuerint quadringenti Spartani, αὐτοὶ Σπαρτιᾶται, cives: quod egregie convenit Herodoteo loco de patribus familias. Denique Diod. Sic. XI, 4. de hoc ipso proelio: Λακεδαιμονίων χίλιοι, καὶ σὺν αὐτοῖς Σπαρτιᾶται τριακόσιοι, ubi Wesselingius ostendit Lacedaemonios et Spartanos ut partem et totum differre. Sexcenti Lacedaemonii apud Iustin. II. 11, 14. etiam cives et Helotes fuisse videntur." Morus. 31 „ὀλίγους] Fuere secundum Herodotum VII, 222. quadringenti Thebani, septingenti Thespienses: nam reliqui, c. 202. nominati, diffugerant, c. 219. Diod. XI, 9. qui solos Thespienses mansisse narrat. Ante sociorum fugam superarant summam quatuor millium; quam Diod. Sic. XI, 4. et Iustin. II, 11. init. rotunde posuit. De numero Thespiensium non temere dubitavit Valckenar. ad Herodot. VII, 202." Morus. 32 προελθεῖν] προσελθεῖν pr. G. 33 „ἑξήκοντα] Universae Graecorum classi ad Artemisium collectae interfuerunt 127 naves Atticae, Herodot. VIII, 1. aut 140 iuxta Diod. Sic. XI, 12. quibus post priorem congressum ad Artemisium 53 submissae sunt, Herodot. c. 14. Diod. Sic. c. 13." Morus. 36 Legebatur ἀγωνιζόμενοι. ἀγωνιῶντες G et Harpocratio in ἀγωνιᾶν, ab Coraë indicatus. 37 Μαραθῶνι G ἐν Μαραθῶνι V. Isocrates p. 329, 6. Μαραθῶνι τῇ μάχῃ νικήσας. p. 95, 24. τῆς Μαραθῶνι μάχης G ἐν Μαραθῶνι V: quae me moverunt ut p. 144, 4. deleta ἐν ederem τοῖς Μαραθῶνι τοὺς βαρβάρους νικήσασι. Conf. var. lect. ad Demosthenem p. 172. 297. 441. 686. Reisk. Non minus suspectum multis in locis ἐν Σαλαμῖνι. αὐτοὺς ἐξισῶσαι G ἑαυτοὺς ἐξ ἴσου καταστῆσαι V.

48 καὶ δεδιότες μὴ δὶς ἐφεξῆς ἡ πόλις ἡμῶν αἰτία γένηται τοῖς Ἕλλησι τῆς σωτηρίας, οἱ δ' ἡμέτεροι μάλιστα μὲν βουλόμενοι διαφυλάξαι τὴν παροῦσαν δόξαν, καὶ πᾶσι ποιῆσαι φανερὸν ὅτι καὶ τὸ πρότερον δι' ἀρετὴν, ἀλλ' οὐ διὰ τύχην ἐνίκησαν, ἔπειτα καὶ προαγαγέσθαι τοὺς Ἕλληνας ἐπὶ τὸ διαναυμαχεῖν, ἐπιδείξαντες αὐτοῖς ὁμοίως ἐν τοῖς ναυτικοῖς κινδύνοις ὥσπερ ἐν τοῖς πεζοῖς τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομέ-
XXVI νην. ἴσας δὲ τὰς τόλμας παρασχόντες οὐχ ὁμοίαις ἐχρήσαντο ταῖς τύχαις, ἀλλ' οἱ μὲν διεφθάρησαν καὶ ταῖς ψυχαῖς νικῶντες τοῖς σώμασιν ἀπεῖπον, οὐ γὰρ δὴ τοῦτό γε θέμις εἰπεῖν, ὡς ἡττήθησαν· οὐδεὶς γὰρ αὐτῶν φυγεῖν ἠξίωσεν, οἱ δ' ἡμέτεροι τὰς μὲν προπλοὺς ἐνίκησαν, ἐπειδὴ δ' ἤκουσαν τῆς πα-

---

P. 48, 2 ἡμέτεροι G ἡμέτεροι πρόγονοι V. Conf. 48, 11. 4 τὸ add. G. τύχην G τὴν τύχην V. 5 ἔπειτα καὶ προαγ. G ἔπειτα δὲ καὶ προςαγ. V. τὸ G τῷ V. 7 τοῖς add. G. „πλήθους] Lycurg. in Leocr. c. 28. οἱ πρόγονοι καταφανῆ ἐποίησαν τὴν ἀνδρίαν τοῦ πλούτου καὶ τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην.“ Morus. 8 ὁμοίαις G ὁμοίως V. „Lycurg. in Leocr. c. 12. de Chaeronensi proelio: τῶν κινδύνων ἐξίσου μετασχόντες, οὐχ ὁμοίως τῆς τύχης ἐκοινώνησαν, et c. 28. de Thermopylis: ταῖς μὲν τύχαις οὐχ (nam hoc est necessario addendum) ὁμοίως ἐχρήσαντο.“ Morus. 10 „Lysias Epitaph. p. 47. οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες, οὗπερ ἐτάχθησαν. Lycurg. c. 12. οὐχ ἡττήθησαν, ἀλλ' ἀπέθανον ἀμύνοντες, et νικῶντες ἀπέθανον, qui locus ibi pulcherrime tractatus est. Haec iam notavit Markland. ad Lysiam p. 438. Diod. Sic. XI, 11. τοῖς μὲν σώμασι κατεπονήθησαν, ταῖς δὲ ψυχαῖς οὐχ ἡττήθησαν. Iustin. II. 11, 18. Non victi, sed vincendo fatigati. Diduxit sententiam Demosth. Or. fun. p. 1391. Reisk.“ Morus. 12 „πρόπλους] *Praemissas, praecursorias.* Sic Thuc. VI, 46. αἱ πρόπλοι νῆες, et IV, 120. τριήρης προπλέουσα. Herodot. VI, 97. Δᾶτις προπλώσας, *qui praeierat.* Nempe Xerxes selectas ex omni classe Persica ducentas naves (Diod. Sic. XI, 12. trecentas) ad Artemisium praemiserat, ut Graecorum classem adorirentur. Herodot. VIII, 7.“ Morus. „ἐνίκησαν] Duobus proeliis ad Artemisium commissis, quae Herodotus VIII, 6—16. descripsit. Sed in priori c. 11. ἑτεραλκέως ἀγωνίσασθαι narrat, in posteriori c. 16. παραπλησίους ἀλλήλοισι γενέσθαι, ut Cornel. Them. c. 3. *pari proelio discessisse*, quibuscum consentit Diod. Sic. XI, 12. μέρει μὲν τῶν νεῶν ἑκάτεροι ἐπροτέρησαν, οὐδέτεροι δὲ ὁλοσχερεῖ νίκῃ πλεονεκτήσαντες διελύθησαν. „Ergo orator

ρόδου τοὺς πολεμίους κρατοῦντας, οἴκαδε καταπλεύσαντες οὕτως ἐβουλεύσαντο περὶ τῶν λοιπῶν ὥστε πολλῶν καὶ καλῶν αὐτοῖς προειργασμένων ἐν τοῖς τελευταίοις τῶν κινδύνων ἔτι πλέον διήνεγκαν. ἀθύμως γὰρ ἁπάντων τῶν συμμάχων διακειμένων, καὶ Πελοποννησίων μὲν διατειχιζόντων τὸν Ἰσθμὸν καὶ ζητούντων ἰδίαν αὑτοῖς σωτηρίαν, τῶν δ᾽ ἄλλων πόλεων ὑπὸ τοῖς βαρβάροις γεγενημένων καὶ συστρατευομένων ἐκείνοις, πλὴν εἴ τις διὰ μικρότητα παρημελήθη, προςπλεουσῶν δὲ τριήρων διακοσίων καὶ χιλίων καὶ πεζῆς στρατιᾶς ἀναριθμήτου μελλούσης εἰς τὴν Ἀττικὴν εἰςβάλλειν, οὐδεμιᾶς σω- 60
τηρίας αὐτοῖς ὑποφαινομένης, ἀλλ᾽ ἔρημοι συμμάχων γεγενημένοι καὶ τῶν ἐλπίδων ἁπασῶν διημαρτηκότες, ἐξὸν αὐτοῖς μὴ μόνον τοὺς παρόντας κινδύνους διαφυγεῖν, ἀλλὰ καὶ τιμὰς ἐξαιρέτους λαβεῖν, ἃς αὐτοῖς ἐδίδου βασιλεὺς ἡγού-

---

hic nimis laudavit.“ Morus. 13 „παρόδου] Thermopylas seu Pylas intelligit, ut Lysias Epit. p. 47. nam Pylae dicuntur loca, per quae regio aditur. Curt. III, 4.“ Morus. 16 ἔτι πλέον διήνεγκαν G ἐπὶ πλέον διενεγκεῖν V. 18 „Ἰσθμὸν] Ita Lysias p. 53. et Diod. Sic. XI, 16. item ὀχυροῦν τεῖχος ἀπὸ Λεχαίου μέχρι Κεγχρεῶν. Herodot. VIII, 40. τειχεῖν τὸν Ἰσθμόν, c. 71. οἰκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος.“ Morus. δ᾽] Scribebatur δὲ. Quod quum in δ᾽ mutassem in editione prima, ut est in Antidosi 33, 3., typotheta correctione secus intellecta omisit voculam: quae ei communis cum G culpa est. 19 „Herodot. VIII, 66.“ Morus. 20 μικρότητα ἠμελήθη G σμικρότητα παρημελήθη V. Verbo παραμελεῖν utitur Isocrates p. 272, 24. (308 b.) 305, 3. καταμελεῖν p. 392, 14. (412 c.) 21 „Idem numerus Persicae classis c. 27. 33. et Panath. p. 242. St. repetitur. Herodot. VII, 89. septem addit. cf. Brisson. de Regno Persar. p. 747 sqq.“ Morus. Mille et ducentae naves numerantur etiam in Lysiae epitaph. p. 91. Reisk.: sed in loco Panathenaici τριακοσίας pro διακοσίας praebuit G. πεζῆς G τῆς πεζῆς V. 23 ὑποφαινομένης G ὑπολειπομένης V. In Archidamo p. 106, 21. (124 e.), auctore G editum οὐδεμιᾶς αὐτῷ σωτηρίας ὑποφαινομένης. ibi quoque legebatur ὑπολειπομένης. σωτηρίας οὐδεμιᾶς ἄλλης φαινομένης Isocrates p. 334, 31. (348 d.) 26 „Aut ignoramus, quid a Xerxe Atheniensibus ante ipsam Salaminiam pugnam oblatum sit, (esse autem nihil oblatum inde fit credibile, quod sine mora post pugnam ad Thermopylas Atticam et Athenas vastavit: Herodot.

μενος, εἰ τὸ τῆς πόλεως προςλάβοι ναυτικὸν, παραχρῆμα καὶ Πελοποννήσου κρατήσειν, οὐχ ὑπέμειναν τὰς παρ' ἐκείνου δωρεὰς, οὐδ' ὀργισθέντες τοῖς Ἕλλησιν ὅτι προὐδόθησαν ἀσμένως ἐπὶ τὰς διαλλαγὰς τὰς πρὸς τοὺς βαρβάρους ὥρμησαν, ἀλλ' αὐτοὶ μὲν ὑπὲρ τῆς ἐλευθερίας πολεμεῖν παρεσκευάζοντο, τοῖς δ' ἄλλοις τὴν δουλείαν αἱρουμένοις συγγνώμην εἶχον. ἡγοῦντο γὰρ ταῖς μὲν ταπειναῖς τῶν πόλεων προςήκειν ἐκ παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν, ταῖς δὲ προεστάναι τῆς Ἑλλάδος ἀξιούσαις οὐχ οἷόν τ' εἶναι διαφεύγειν τοὺς κινδύνους, ἀλλ' ὥσπερ τῶν ἀνδρῶν τοῖς καλοῖς κἀγαθοῖς αἱρετώτερόν ἐστι καλῶς ἀποθανεῖν ἢ ζῆν αἰσχρῶς, οὕ-
49 τω καὶ τῶν πόλεων ταῖς ὑπερεχούσαις λυσιτελεῖν ἐξ ἀνθρώπων ἀφανισθῆναι μᾶλλον ἢ δούλαις ὀφθῆναι γενομέναις. δῆλον δ' ὅτι ταῦτα διενοήθησαν· ἐπειδὴ γὰρ οὐχ οἷοί τ' ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυνάμεις, παραλαβόντες ἅπαντα τὸν ὄχλον τὸν ἐκ τῆς πόλεως εἰς τὴν ἐχομένην νῆσον ἐξέπλευσαν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν κινδυνεύ-
XXVII σωσιν. καίτοι πῶς ἂν ἐκείνων ἄνδρες ἀμείνους ἢ μᾶλλον φιλέλληνες ὄντες ἐπιδειχθεῖεν, οἵτινες ἐτόλμησαν ἐπιδεῖν, ὥστε μὴ τοῖς λοιποῖς αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρήμην μὲν τὴν πόλιν γενομένην, τὴν δὲ χώραν πορθουμένην, ἱερὰ δὲ συλώμενα καὶ νεὼς ἐμπιπραμένους, ἅπαντα δὲ τὸν πόλεμον περὶ τὴν πατρίδα τὴν αὐτῶν γιγνόμενον; κοὐδὲ ταῦτ' ἀπέχρησεν αὐτοῖς, ἀλλὰ πρὸς χιλίας καὶ διακοσίας τριήρεις μόνοι

VIII, 51—54.) aut Isocrates festinatione quadam retulit ad haec tempora id, quod vel Xerxes ante proelium ad Thermopylas Graecis ibi collectis promisit, Diod. Sic. XI. c. 5. vel Mardonius, dux Xerxis, post Salaminiam pugnam ante Plataeense proelium, Atheniensibus obtulit. Herodot. VIII, 136. 140. Iustin. II, 14. Plutarch. Aristid. c. 10. Diod. Sic. c. 28. Aristid. Panath. p. 41. "Ἕτερος (i. e. Xerxes) δώσει τὴν ἡγεμονίαν, καὶ προςθήσει χρήματα Μηδικὰ καὶ δωρεάς. Cf. p. 49. ubi suo loco narratur." Morus. 34 ἐκ παντὸς G ἐξ ἅπαντος V.

P. 49, 3—50, 2 attulit Dionysius de vi Demosth. vol. II. p. 188. Sylb. 6 ἑκατέραν κινδυνεύσωσιν G ἑκατέραν τὴν δύναμιν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα κινδυνεύσωσιν V, ex Lysia p. 193, 44. HSt. ab Coraë comparato. 9 „De Athenis desertis Herodot. VIII, 51." Morus. 10 γενομένην G γιγνομένην V. 12 περὶ]

διαναυμαχεῖν ἐμέλλησαν. οὐ μὴν ἐλάθησαν· καταισχυνθέντες γὰρ Πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ νομίσαντες προδιαφθαρέντων μὲν τῶν ἡμετέρων οὐδ' αὐτοὶ σωθήσεσθαι, κατορθωσάντων δ' εἰς ἀτιμίαν τὰς αὐτῶν πόλεις καταστήσειν, ἠναγκάσθησαν μετασχεῖν τῶν κινδύνων. καὶ τοὺς μὲν 61 θορύβους τοὺς ἐν τῷ πράγματι γενομένους καὶ τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων ἐστὶ τῶν ναυμαχούντων, οὐκ οἶδ' ὅ τι δεῖ λέγοντα διατρίβειν· ἃ δ' ἐστὶν ἴδια καὶ τῆς ἡγεμονίας ἄξια καὶ τοῖς προειρημένοις ὁμολογούμενα, ταῦτα δ' ἐμὸν ἔργον ἐστὶν εἰπεῖν. τοσοῦτον γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτ' ἦν ἀκέραιος, ὥστ' ἀνάστατος γενομένη πλείους μὲν συνεβάλετο τριήρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ

την πατρίδα τὴν αὐτῶν G. περὶ πατρίδα τὴν ἑαυτῶν V. 14 ἐμέλλησαν G ἐτόλμησαν V. 18 „ἠναγκάσθησαν] *Pudore et honesti cogitatione adacti sunt.* Sic Isocraticae narrationis consilium haec accipere iubet, quanquam calliditate Themistoclis coacti sunt remanere, cum fugam decressent. Herodot. VIII, 75. Cornel. Themist. c. 4. quibuscum Lycurg. in Leocr. c. 17. consentit: *βίᾳ τοὺς ἄλλους ἠλευθέρωσαν οἱ Ἀθηναῖοι, ἀναγκάσαντες ναυμαχεῖν, alios invitos servarunt, quoniam dimicare coëgerunt.* Ergo primum Athenienses non soli depugnare voluerunt, (v. Taylorus ad Lysiam p. 40. 41.) deinde socii non pudore aut vi honestatis victi affuerunt proelio, denique praeter Lacedaemonios multi alii Atheniensium socii convenerant, quos Herodot. VIII, 42. sqq. enumeravit. Adeo multum Isocrates laudandi studio tribuit.“ Morus.

„καὶ — διατρίβειν] Descripsit haec omnia Lysias Epitaph. p. 50. 51. quem ab Isocrate hic reprehendi Marklandus p. 438. existimat. Eadem fere verba Isocr. Euag. p. 194.“ Morus.

20 ἐστὶ G εἰσὶ V. 21 οὐκ οἶδ' G οὐχ ὁρῶ V. 23 ἐστὶν εἰπεῖν G εἰπεῖν ἐστίν V. 25 „πλείους] Hunc locum et c. 31. τριήρεις διπλασίας ἢ σύμπαντες οἱ ἄλλοι, et similem Lysiae Epit. p. 52. sic explicandum puto, ut Demosth. de cor. c. 21. 70: *τριακοσίων οὐσῶν τῶν πασῶν (τριηρῶν), τὰς διακοσίας ἡ πόλις (τῶν Ἀθηναίων) παρέσχετο*, numeris rotunde positis: quibuscum consentiunt quos Valckenar. ad Herodot. VIII, 1. laudavit, quorumque loca de classe ad Salaminem collecta intelligenda sunt. Sed si numeros accurate ineamus, ab Atheniensibus 180 naves missae sunt, Herodot. VIII, 44. et universa Graecorum classis 378 navibus constitit, ib. c. 48. ideoque Athenienses *propemodum* tot miserunt, quot caeteri omnes. Rem optime expressit Thucydides I, 74.

τῆς Ἑλλάδος ἢ σύμπαντες οἱ ναυμαχήσαντες, οὐδεὶς δὲ πρὸς ἡμᾶς οὕτως ἔχει δυσμενῶς ὅστις οὐκ ἂν ὁμολογήσειε διὰ μὲν τὴν ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ κρατῆσαι, ταύτης δὲ τὴν πό-
XXVIII λιν αἰτίαν γενέσθαι. καίτοι μελλούσης στρατείας ἐπὶ τοὺς βαρβάρους ἔσεσθαι τίνας χρὴ τὴν ἡγεμονίαν ἔχειν; οὐ τοὺς ἐν τῷ προτέρῳ πολέμῳ μάλιστ' εὐδοκιμήσαντας, καὶ πολλάκις μὲν ἰδίᾳ προκινδυνεύσαντας, ἐν δὲ τοῖς κοινοῖς τῶν ἀγώνων ἀριστείων ἀξιωθέντας; οὐ τοὺς τὴν αὑτῶν ἐκλιπόντας ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας, καὶ τό τε παλαιὸν οἰκιστὰς τῶν πλείστων πόλεων γενομένους καὶ πάλιν αὐτὰς ἐκ τῶν μεγίστων συμφορῶν διασώσαντας; πῶς δ' οὐκ ἂν δεινὰ πάθοιμεν, εἰ τῶν κακῶν πλεῖστον μέρος μετασχόντες ἐν ταῖς
50 τιμαῖς ἔλαττον ἔχειν ἀξιωθεῖμεν, καὶ τότε προταχθέντες ὑπὲρ ἁπάντων νῦν ἑτέροις ἀκολουθεῖν ἀναγκασθεῖμεν;

XXIX Μέχρι μὲν οὖν τούτων οἶδ' ὅτι πάντες ἂν ὁμολογήσειαν πλείστων ἀγαθῶν τὴν πόλιν τὴν ἡμετέραν αἰτίαν γεγενῆσθαι,

---

ἐς τὰς τετρακοσίας ναῦς (h. e. 378. quae fuit universa classis), παρεσχόμεθα ὀλίγῳ ἐλάσσους τῶν δύο μοιρῶν. Aristides Panath. p. 38. de multitudine Atticarum navium more suo nimis argute locutus est. Melius p. 41. δύο τοῦ παντὸς μέρη μόνοι Ἀθηναῖοι ἐπλήρουν." Morus. 28 „ταύτης sc. τῆς ναυμαχίας, quoniam, caeteris recusantibus, prae metu Isthmum munientibus, et in Peloponneso latentibus, unus Themistocles sociis persuasit ut ad Salamina confligerent, Herodot. VIII, 56—64. idemque eos fugere molientes resistere coegit." Morus. τὴν πόλιν G τὴν ἡμετέραν πόλιν V. 33 αὐτῶν G ἑαυτῶν V.

P. 50, 1 ἀξιωθεῖμεν G ἀξιωθείημεν V. 2 ἀναγκασθεῖμεν G ἀναγκασθείημεν V. „Deberi Atheniensibus principatum, etiam Herodot. IX, 27. Thucydides I, 73. et Xenoph. Hell. VII, 1. fictis orationibus explicarunt." Morus. 3 ὁμολογήσειαν G ὁμολογήσαιεν V. „Quidquid, constituto post Salaminiam victoriam imperio Atheniensium, usque ad initium belli Peloponnesiaci ab iis crudeliter, avare, aut iniuste factum est, tradidit Thucyd. I, 98—119. Isocratis autem haec excusantis argumenta quis non videt admodum infirma esse?" Morus. 4 τὴν ἡμετέραν G ἡμῶν V. „Tempore belli Peloponnesiaci Melus, colonia Lacedaemoniorum (Herodot. VIII, 48.), noluerat Atheniensium societati se adiungere, Thucyd. V, 84. Itaque diu obsessa tandem se dedidit Atheniensibus, qui ἡβῶντας ἀπέκτειναν, παῖδάς τε καὶ

καὶ δικαίως ἂν αὐτῆς τὴν ἡγεμονίαν εἶναι· μετὰ δὲ ταῦτ' ἤδη τινὲς ἡμῶν κατηγοροῦσιν, ὡς ἐπειδὴ τὴν ἀρχὴν τῆς θαλάττης παρελάβομεν, πολλῶν κακῶν αἴτιοι τοῖς Ἕλλησι κατέστημεν, καὶ τόν τε Μηλίων ἀνδραποδισμὸν καὶ τὸν Σκιωναίων ὄλεθρον ἐν τούτοις τοῖς λόγοις ἡμῖν προφέρουσιν. ἐγὼ δ' ἡγοῦμαι πρῶτον μὲν οὐδὲν εἶναι τοῦτο σημεῖον ὡς κακῶς ἤρχομεν, εἴ τινες τῶν πολεμησάντων ἡμῖν σφόδρα φαίνονται κολασθέντες, ἀλλὰ πολὺ τόδε μεῖζον τεκμήριον ὡς καλῶς διῳκοῦμεν τὰ τῶν συμμάχων, ὅτι τῶν πόλεων τῶν ὑφ' 62
ἡμῖν οὐσῶν οὐδεμία τοιαύταις συμφοραῖς περιέπεσεν. ἔπειτ' εἰ μὲν ἄλλοι τινὲς τῶν αὐτῶν πραγμάτων πρότερον ἐπεμελήθησαν, εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν· εἰ δὲ μήτε τοῦτο γέγονε μήθ' οἷόν τ' ἐστὶ τοσούτων πόλεων τὸ πλῆθος κρατεῖν, ἢν μή τις κολάζῃ τοὺς ἐξαμαρτάνοντας, πῶς οὐκ ἤδη δίκαιόν ἐστιν ἡμᾶς ἐπαινεῖν, οἵτινες ἐλαχίστοις χαλεπήναντες
XX πλεῖστον χρόνον τὴν ἀρχὴν κατασχεῖν ἠδυνήθημεν; οἶμαι δὲ

γυναῖκας ἠνδραπόδισαν, τὸ δὲ χωρίον αὐτοὶ ᾤκησαν, ἀποίκους ὕστερον πεντακοσίους πέμψαντες. Id. V, 160. Cf. Isocr. Panath. p. 245. Xen. Hell. II. 2, 2. Diod. Sic. XII, 65. Melios tandem restituit Lysander Xen. Hell. II. 2, 5.“ Morus. „Scione ab Atheniensibus defecit, Aristoph. Vesp. 210. Thuc. IV, 120. oppugnata est, c. 130. sqq. et capta, V, 32. Cf. Diod. Sic. XII, 72. 76. Ac tum quoque iuventute interfecta, liberis mulieribusque in servitutem redactis, Athenienses locum Plataeensibus habitandum dederunt. Cf. infra c. 31. Etiam Aristides Panath. p. 77. excusat Athenienses, sed, ut omnia solet, nimis.“ Morus. 9 ὄλεθρον om. G. 11 „Sed Melii nihil tali ultione dignum commiserant.“ Morus. 13 ὑφ' G ἐφ' V. Conf. ad 34, 16. 14 τοιαύταις] ταύταις ταῖς G. 16 μήτε G μήποτε V. 18 οὐκ ἤδη G οὐ V. 20 „πλεῖστον χρόνον] Panath. p. 244. St. Σπαρτιᾶται μὲν ἔτη δέκα μόλις ἐπεστάτησαν τῶν πραγμάτων· ἡμεῖς δὲ πέντε καὶ ἑξήκοντα συνεχῶς κατέσχομεν τὴν ἀρχήν. Recte ergo locus Lycurgi in Leocr. c. 17. ἐννενήκοντα ἔτη τῶν Ἑλλήνων ἡγεμόνες οἱ πρόγονοι κατέστησαν, repugnans caeterorum narrationi, a Tayloro sic in dubitationem vocatur, ut is ἑβδομήκοντα legendum esse suspicetur, quod et Lysias Epitaph. p. 57. scripsit: nisi quis ex Aristid. Panath. p. 73. (Ἀθηναῖοι πλέον ἢ ἑβδομήκοντα ἔτη κατέσχον τὴν ἀρχήν· Λακεδαιμόνιοι οὐδ' εἰς τρεῖς Ὀλυμπιάδας διεφύλαξαν.)

πᾶσι δοκεῖν τούτους κρατίστους προστάτας γενήσεσθαι τῶν Ἑλλήνων ἐφ᾽ ὧν οἱ πειθαρχήσαντες ἄριστα τυγχάνουσι πράξαντες. ἐπὶ τοίνυν τῆς ἡμετέρας ἡγεμονίας εὑρήσομεν καὶ τοὺς οἴκους τοὺς ἰδίους πρὸς εὐδαιμονίαν πλεῖστον ἐπιδόντας καὶ τὰς πόλεις μεγίστας γενομένας. οὐ γὰρ ἐφθονοῦμεν ταῖς αὐξανομέναις αὐτῶν, οὐδὲ ταραχὰς ἐνεποιοῦμεν πολιτείας ἐναντίας παρακαθιστάντες, ἵν᾽ ἀλλήλοις μὲν στασιάζοιεν, ἡμᾶς δ᾽ ἀμφότεροι θεραπεύοιεν, ἀλλὰ τὴν τῶν συμμάχων ὁμόνοιαν κοινὴν ὠφέλειαν νομίζοντες τοῖς αὐτοῖς νόμοις ἁπάσας τὰς πόλεις διῳκοῦμεν, συμμαχικῶς, ἀλλ᾽ οὐ δεσποτικῶς βουλευόμενοι περὶ αὐτῶν, ὅλων μὲν τῶν πραγμάτων ἐπιστατοῦντες, ἰδίᾳ δ᾽ ἑκάστους ἐλευθέρους ἐῶντες εἶναι, καὶ τῷ μὲν πλήθει βοηθοῦντες, ταῖς δὲ δυναστείαις πολεμοῦντες, δεινὸν ἡγούμενοι τοὺς πολλοὺς ὑπὸ τοῖς ὀλίγοις εἶναι, καὶ τοὺς ταῖς οὐσίαις ἐνδεεστέρους, τὰ δ᾽ ἄλλα μηδὲν χείρους ὄντας ἀπελαύνεσθαι τῶν ἀρχῶν, ἔτι δὲ κοινῆς τῆς πατρίδος οὔσης τοὺς μὲν τυραννεῖν, τοὺς δὲ μετοικεῖν, καὶ φύσει πο-
51 λίτας ὄντας νόμῳ τῆς πολιτείας ἀποστερεῖσθαι. τοιαῦτ᾽ ἔχοντες ταῖς ὀλιγαρχίαις ἐπιτιμᾶν καὶ πλείω τούτων, τὴν αὐτὴν πολιτείαν ἥνπερ παρ᾽ ἡμῖν αὐτοῖς καὶ παρὰ τοῖς ἄλλοις

---

defendere utcumque Lycurgum malit, et ab Aristide additā existimare tempora, quibus per Cononem recuperarunt Attici imperium (Cornel. Con. c. 4.): v. Meursii Fortuna Att. c. 10. p. 89.“ Morus. 21 γενήσεσθαι G γεγενῆσθαι V. 23 ἡγεμονίας] εὐδαιμονίας G. In contrario errore versantur libri multi in Demosthene vol. I. p. 118, 10. (156, 15. Reisk.) ubi ego εὐδαιμονίαν ex optimo libro S Bekkeri et aliis ascivi. 26 ἐνεποιοῦμεν G ἐποιοῦμεν V. 27 ἐναντίας G ὑπεναντίας V. ἵν᾽ G ἵν᾽ ἐν V. 33 ταῖς δὲ δυν. G ταῖς δυν. δὲ V. In Nicocle p. 25, 36. me nolente τὰ πράγματα δὲ relictum, quum G τὰ δὲ πράγματα praebeat. 35 δεινὸν] δεινοὶ G. δεινὸν οἰόμενοι a man. rec. G. 37 „μετοικεῖν] velut peregrinos vivere in patria, deterioris conditionis esse, velut μετοίκους εἶναι. Dicebantur enim ab Atheniensibus μέτοικοι, qui sedes rerum suarum e patria Athenas transtulerant, ibique fixerant. v. Harpocrat. in μετοίκιον et Valckenar. ad Ammon. p. 109.“ Morus.

κατεστήσαμεν; ἣν οὐκ οἶδ᾽ ὅ τι δεῖ διὰ μακροτέρων ἐπαινεῖν, ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶσαι περὶ αὐτῆς. μετὰ γὰρ ταύτης οἰκοῦντες ἑβδομήκοντ᾽ ἔτη διετέλεσαν ἄπειροι μὲν

P. 51, 4 δεῖ om. G. 6 „ἑβδομήκοντ᾽] Non miror, si Meursio in Fort. Att. c. 10. p. 89. et aliis fortasse in mentem venit, hos septuaginta annos de eo tempore, quo Athenienses imperium tenuerunt, capiendos esse, quum annorum numerus conveniat, et multa quoad numerum similia loca reperiantur: qua de re ad c. 29. dictum est. Sed res longe aliter se habet. Nam primum illud tempus imperii, frequentissimum bellis, non poterat dici sine bellis cum ullis hominibus effluxisse: deinde μετὰ ταύτης ad πολιτείαν δημοκρατικὴν τῶν Ἀθηναίων c. 30. refertur, non ad ἡγεμονίαν. Quaeritur ergo, quando Athenis tale spatium temporis elapsum sit, quale hic describitur, videnturque termini septuaginta annorum sic constituendi, ut initium ducamus a primo archonte annuo, Creonte, qui Olympiade 23. creatus est, finemque faciamus Olympiadem 42. Nam sic non solum efficiuntur anni septuaginta et sex, quos Isocrates rotunde septuaginta appellavit, sed etiam sermo est de vera δημοκρατίᾳ, quae a tempore archontum annuorum initium cepit. Porro per hoc totum tempus nullus exstitit tyrannus, nulla seditio, sed demum Olymp. 45. Cylon arcem invasit (Herodot. V, 71. Thucyd. I, 126.): nec bella sunt cum aliis gesta, donec Olymp. 43. contra Mitylenaeos pugnarunt: nec denique cum barbaris dimicatio incidit: aut si quid tale accidit, (quis enim omnia legerit?) levius fuit, et propemodum negligendum in historia. Itaque nec Corsinus in Fastis Att. T. III. p. 33 sqq. per totum hoc tempus alicuius belli ab Atheniensibus gesti mentionem iniecit: quanquam initium archontum annuorum Ol. 24. et turbas Cylonis Ol. 42. assignavit. Quum ergo sit hoc intervallum 70 annorum, quantum praeterea de tempore adeo remoto iudicare licet, tale, quale Isocrates descripsit: fortasse non temere hos terminos constitui.“ Morus. Septuaginta anni numerantur in Lysiae epitaph. p. 113. Reisk., sexaginta quinque ab Isocrate in Panath. p. 214, 29 (244 b.), quadraginta quinque ab Demosthene Olynth. III. p. 25., septuaginta tres ab eodem Philipp. III. p. 68., nonaginta ab Lycurgo c. Leocr. c. 17., octoginta quinque ab Andocide de pac. p. 107., duo de septuaginta ab Dionysio Hal. Arch. I, 3. Haec ab Coraë monita sunt. Legebatur διετελέσαμεν. διετέλεσαν Bekkerus in Addendis editionis Berol. Sic in Panath. p. 233, 11. (264 c.) ex libro Urbinate nunc editum τὸ μὲν οὖν σύνταγμα τῆς τότε πολιτείας καὶ τὸν χρόνον

τυραννίδων, ἐλεύθεροι δὲ πρὸς τοὺς βαρβάρους, ἀστασίαστοι δὲ πρὸς σφᾶς αὐτοὺς, εἰρήνην δ' ἄγοντες πρὸς πάντας ἀν-
XXXI θρώπους. ὑπὲρ ὧν προσήκει τοὺς εὖ φρονοῦντας μεγάλην 63
χάριν ἔχειν πολὺ μᾶλλον ἢ τὰς κληρουχίας ἡμῖν ὀνειδίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημουμένας τῶν πόλεων φυλακῆς ἕνεκα τῶν χωρίων, ἀλλ' οὐ διὰ πλεονεξίαν ἐξεπέμπομεν. σημεῖον δὲ τούτων· ἔχοντες γὰρ χώραν μὲν ὡς πρὸς τὸ πλῆθος τῶν πολιτῶν ἐλαχίστην, ἀρχὴν δὲ μεγίστην, καὶ κεκτημένοι τριήρεις διπλασίας μὲν ἢ σύμπαντες οἱ ἄλλοι, δυναμένας δὲ πρὸς δὶς τοσαύτας κινδυνεύειν, ὑποκειμένης τῆς Εὐβοίας ὑπὸ τὴν Ἀττικὴν, ἣ καὶ πρὸς τὴν ἀρχὴν τὴν τῆς θαλάττης εὐφυῶς εἶχε καὶ τὴν ἄλλην ἀρετὴν ἁπασῶν τῶν νήσων διέφερε, κρατοῦντες αὐτῆς μᾶλλον ἢ τῆς ἡμετέρας αὐτῶν, καὶ πρὸς τούτοις εἰδότες καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων τούτους μά-

---

ὅσον αὐτῇ χρώμενοι διετέλεσαν (διετελέσαμεν V.) ἐξαρκούντως δεδηλώκαμεν (δεδήλωται V.). 8 σφᾶς] ἡμᾶς man. rec. G, propter διετελέσαμεν. πάντας G ἅπαντας V. 9 „ὑπὲρ ὧν] Ob ea, quae huc usque exposita sunt, merita. Totum hunc locum, ὑπὲρ ὧν — ἐξεπέμπομεν, repetiit Harpocratio in Κληροῦχοι: quos ille dicit fuisse, οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις, ἃς ἐλάμβανον, κλήρους ἑκάστοις διανεμοῦντες. Eam ob rem Diod. Sic. XV, 23. refert, Athenienses male ubivis audiisse, ideoque tandem coactos esse, ereptos possessoribus legitimis agros iis restituere. Ibid. c. 29." Morus. 11 „τὰς ἐρημουμένας] Vid. c. 29. de Melo et Scione." Morus. 12 „οὐ διὰ πλεονεξίαν] C. 32. μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν." Morus. 13 μὲν ὡς πρὸς G πρὸς μὲν V. 14 καὶ κεκτ. G κεκτ. δὲ V. 15 οἱ ἄλλοι omn. G. „δὶς τοσαύτας de Xerxis classe intelligendum, de qua c. 27. dixit." Morus. 16 τῆς G δὲ τῆς V. „Thucyd. VIII, 96. de opportunitate Euboeae ad imperium Atheniensium agit, et ex ea capere Athenienses plus emolumenti dicit quam ex ipsa Attica." Morus. 17 τὴν τῆς G τῆς V. 18 „πρὸς τὴν ἄλλην ἀρετὴν] *Quoad caetera bona, commoda.* Herodot. IV, 108. ἀρετὴ Λιβύης, Thucyd. I, 2. ἀρετὴ γῆς, de fertilitate. Nam omnis praestantia rei alicuius, sive a natura sit, sive ab exercitatione et opera, dicitur ἀρετή. Vid. omnino Fragm. Metopi in Galei Opusc. myth. p. 684. Cic. Phil. XIV, 9. *virtutes dici.*" Morus. 20 τῶν Ἑλλήνων G τῶν ἄλλων Ἑλλή-

λιστ' εὐδαιμονοῦντας οἳ τοὺς ὁμόρους ἀναστάτους ποιήσαντες ἄφθονον καὶ ῥᾴθυμον αὑτοῖς κατεστήσαντο τὸν βίον, ὅμως οὐδὲν τούτων ἡμᾶς ἐπῆρε περὶ τοὺς ἔχοντας τὴν νῆσον ἐξαμαρτεῖν, ἀλλὰ μόνοι δὴ τῶν μεγάλην δύναμιν λαβόντων περιείδομεν ἡμᾶς αὐτοὺς ἀπορωτέρως ζῶντας τῶν δουλεύειν αἰτίαν ἐχόντων. καίτοι βουλόμενοι πλεονεκτεῖν οὐκ ἂν δή που τῆς μὲν Σκιωναίων γῆς ἐπεθυμήσαμεν, ἣν Πλαταιέων τοῖς ὡς ἡμᾶς καταφυγοῦσι φαινόμεθα παραδόντες, τοσαύτην δὲ χώραν παρελίπομεν ἣ πάντας ἂν ἡμᾶς εὐπορωτέρους ἐποίησεν.

XXII. Τοιούτων τοίνυν ἡμῶν γεγενημένων, καὶ τοσαύτην πίστιν δεδωκότων ὑπὲρ τοῦ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, τολ-

---

των V. τούτους] τοὺς pr. G. 21 „οἳ] *vel εἶναι vel ὅσοι habere videtur G.*“ Bekker. 22 κατεστήσαντο] Vid. ad 42, 26. 23 „ἐξαμαρτεῖν] Tamen Athenienses, Euboea suo imperio subiecta, caeterisque incolis in fidem et societatem receptis, unam insulae urbem, Hestiaeam, eiectis oppidanis, occuparunt. Thucyd. I, 114. Diod. Sic. XII, 22. (Xenoph. Hellen. II. 2, 2. rem obiter tangens, Ἱστιέας appellat, haud infrequenti scripturae permutatione. v. Stephan. de urb. in Ἱστίαια) Quam urbem etiam tum tenuerunt, quum insula a Lacedaemoniis subacta est, Thucyd. VIII, 95. Oreus enim, quod nomen hoc loco commemoratur, est recentius, cum antiquo Hestiaeae mutatum. v. Intt. Diod. Sic. XV, 30. Wass. ad Thucyd. l. l. schol. ad Thucyd. I, 114.“ Morus. 24 λαβόντων G ἐχόντων V ex interpretatione. 25 Legebatur ἀπορώτερον. ἀπορωτέρως G, qui infra 52, 37. ἀθυμοτέρως pro ἀθυμότερον, et περιττοτέρως p. 28, 14. εὐλογωτέρως 103, 15. νεαρωτέρως 247, 30. φρονιμωτέρως 260, 8. δικαιοτέρως praebet 305, 13.: contra in Panegyrico 43, 35. συντομώτερον idem pro συντομωτέρως. συντομώτερον legitur in Archidamo p. 102, 23. (120 d.) „τῶν δουλεύειν αἰτίαν ἐχόντων] *In quibus causa erat, quare servirent*, digni servitute. Nam ab Atheniensibus defecerant. Diod. Sic. XII, 7.“ Morus. 28 καταφυγοῦσι] φυγοῦσι pr. G. „καταφυγοῦσι] Thucyd. III, 20. De Scione Plataeensibus tradita vid. ad c. 29.“ Morus. 30 „Totum hoc caput et contra Lacedaemonios, et contra eos, qui cum iis principatum tenentibus senserunt, inprimis contra decemviros per Graeciae civitates constitutos, et triginta tyrannos, Athenis praefectos, scriptum est. Eaedem iniuriae enumeratae sunt de Pace p. 178. Panath. p. 253.“ Morus.

μῶσι κατηγορεῖν οἱ τῶν δεκαδαρχιῶν κοινωνήσαντες καὶ τὰς αὑτῶν πατρίδας διαλυμηνάμενοι καὶ μικρὰς μὲν ποιήσαντες δοκεῖν εἶναι τὰς τῶν προγεγενημένων ἀδικίας, οὐδεμίαν δὲ λιπόντες ὑπερβολὴν τοῖς αὖθις βουλομένοις γενέσθαι πονηροῖς, ἀλλὰ φάσκοντες μὲν λακωνίζειν, τἀναντία δ' ἐκείνοις ἐπιτηδεύοντες, καὶ τὰς μὲν Μηλίων ὀδυρόμενοι συμφοράς,
52 περὶ δὲ τοὺς αὑτῶν πολίτας ἀνήκεστα τολμήσαντες ἐξαμαρτεῖν. ποῖον γὰρ αὐτοὺς ἀδίκημα διέφυγεν; ἢ τί τῶν αἰσχρῶν
καὶ δεινῶν οὐ διεξῆλθον; οἳ τοὺς μὲν ἀνομωτάτους πιστο- 64
τάτους ἐνόμιζον, τοὺς δὲ προδότας ὥσπερ εὐεργέτας ἐθεράπευον, ᾑροῦντο δὲ τῶν Εἱλώτων ἐνίοις δουλεύειν ὥστ' εἰς

---

32 δεκαδαρχιῶν] In Panathen. p. 216, 33. (246 d.) G praebuit δεκαρχιῶν. δεκαδαρχίαν tuetur Harpocratio. „Lacedaemonii, eorumque iussu constituti decemviri. Praeter ea, quae Isocrates ipse Panath. p. 243. Cornel. Lysand. c. 1. 2. 3. et Harpocratio in h. v. et in δεκαδοῦχος (cf. Henr. Stephani diatr. 7. in Isocr. p. 25.) habent, adeundus Plutarch. Lysand. c. 13. et Diod. Sic. XIV, 13. ubi Wesselingius de varietate scribendi in verbis δεκαρχία et δεκαδαρχία ubivis usitata quaedam notavit." Morus.
33 αυτῶν G ἑαυτῶν V. διαλυμηνάμενοι G λυμηνάμενοι V.
34 λιπόντες G ὑπολιπόντες V. γενέσθαι G γεγενῆσθαι V.
P. 52, 1 αυτῶν G ἑαυτῶν V. 3 καὶ] ἢ G. 5 „Εἱλώτων] Plerumque δούλους interpretantur (v. Hesych. in h. v.), quod parum definitum est (cf. Henr. Steph. diatr. 7. in Isocr. p. 27.). Accuratius ergo Harpocratio in εἱλωτεύειν. Εἵλωτες, οἱ μὴ γόνῳ δοῦλοι Λακεδαιμονίων, ἀλλ' οἱ πρῶτοι χειρωθέντες τῶν Ἕλος τὴν πόλιν οἰκούντων, et scholiastes Thucyd. ad I, 101. Ἕλος, πόλις Λακωνικῆς, ἧς οἱ πολῖται ἐκαλοῦντο Εἵλωτες. Ergo Helotes fuerunt populus Spartae finitimus, quippe qui cum aliis finitimis potuit aliorsum confugere (Thucyd. l. c.), a quo Spartani semper defectionem metuerunt (IV, 80.), et cuius pars, inito cum Lacedaemoniis foedere, e Peloponneso exiit (I, 103.), verum ad imam servitutem redactns, ut, quidquid permisissent aut iussissent Lacedaemonii, sustinere deberet. Vid. Strabo l. VIII. p. 364. et Cornel. Pausan. c. 2. Eorum conditionem accurate descripsit Isocr. Panath. p. 270. Sed quanquam fuerunt ordo inter ingenuos et servos natos interiectus, (Pollux Onom. III, 8. p. 366.) tamen auctore Thucydideo scholiaste l. c. in contemtum Helotum omnino servi Lacedaemoniorum dicti sunt Helotes. Quare ubique videndum, utrum populus Spartae fini-

τὰς αὑτῶν πατρίδας ὑβρίζειν, μᾶλλον δ᾽ ἐτίμων τοὺς αὐτόχειρας [καὶ φονέας] τῶν πολιτῶν ἢ τοὺς γονέας τοὺς αὑτῶν, εἰς τοῦτο δ᾽ ὠμότητος ἅπαντας ἡμᾶς κατέστησαν ὥστε πρὸ τοῦ μὲν διὰ τὴν παροῦσαν εὐδαιμονίαν καὶ ταῖς μικραῖς ἀτυχίαις πολλοὺς ἕκαστος ἡμῶν εἶχε τοὺς συμπαθήσοντας, ἐπὶ δὲ τῆς τούτων ἀρχῆς διὰ τὸ πλῆθος τῶν οἰκείων κακῶν ἐπαυσάμεθ᾽ ἀλλήλους ἐλεοῦντες. οὐδενὶ γὰρ τοσαύτην σχολὴν παρέλιπον ὥσθ᾽ ἑτέρῳ συναχθεσθῆναι. τίνος γὰρ οὐκ ἐφίκοντο; ἢ τίς οὕτω πόρρω τῶν πολιτικῶν ἦν πραγμάτων ὅστις οὐκ ἐγγὺς ἠναγκάσθη γενέσθαι τῶν συμφορῶν εἰς ἃς αἱ τοιαῦται φύσεις ἡμᾶς κατέστησαν; εἶτ᾽ οὐκ αἰσχύνονται τὰς αὑτῶν πόλεις οὕτως ἀνόμως διαθέντες καὶ τῆς ἡμετέρας ἀδίκως κατηγοροῦντες, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ περὶ τῶν δικῶν καὶ τῶν γραφῶν τῶν ποτὲ παρ᾽ ἡμῖν γενομένων λέγειν τολμῶσιν, αὐτοὶ πλείους ἐν τρισὶ μησὶν ἀκρίτους ἀποκτείναντες ὧν ἡ

---

timus, an servi nati et domestici, οἰκέται, intelligantur. Hoc loco de populo sermo est." Morus. ἐνίοις] ἐνὶ G. 6 αὑτῶν G ἑαυτῶν V. 7 „αὐτόχειρ, *percussor, qui sua manu interficit, etiam alium.* Isocr. Aeginet. p. 388. ἀπέκτειναν τὸν πατέρα, αὐτόχειρες γενόμενοι, *sua manu patrem occiderunt.* Plataic. p. 302. qui caedes faciunt, αὐτόχειρες appellantur." Morus. καὶ φονέας cum aliis seclusit Bekkerus. Vide H. Stephani diatriben Isocrateam p. 150. ed. Gronov. 10 ἕκαστος ἡμῶν εἶχε] ἕκαστον ἡμῶν ἔχειν G. συμπαθήσοντας] συμπεθήσοντας G. 14 οὕτω G οὕτω τοσοῦτον V. 15 „αἱ τοιαῦται φύσεις] Homines his ingeniis, hac indole praediti." Morus. 16 τὰς ἑαυτῶν G τὰς μὲν ἑαυτῶν V. 17 „Sunt οἱ διαθέντες τὰς πόλεις ἀνόμως ii, quos supra dixit κοινωνήσαντας τῶν δεκαδαρχιῶν, hoc est, alii etiam Graeci, praeter Lacedaemonios, qui quidem, iubentibus Lacedaemoniis, in sua quique civitate decemviralem potestatem tenuerunt: quapropter hic dicuntur τὰς ἑαυτῶν πόλεις, suam patriam, foede tractasse, et paullo ante περὶ τοὺς ἑαυτῶν πολίτας ἐξημαρτηκέναι, item λυμήνασθαι τὰς ἑαυτῶν πατρίδας. Cornel. Lys. c. 1. De ἀνόμως est in fine capitis, αἱ ἀνομίαι ἐπὶ Λακεδαιμονίων γενόμεναι, et νόμων συγχύσεις, et c. 44. ἐν ταῖς αὑτῶν ἀνόμως ἀπώλοντο, in quibus omnibus locis ἀνόμως est, *contra leges illarum civitatum*, neglectas a decemviris, a quibus defendi debebant, quum cives essent et patriam administrarent." Morus. καὶ τῆς G τῆς δ᾽ V. Conf. ad 54, 28. 20 „ἐν τρισὶ

πόλις ἐπὶ τῆς ἀρχῆς ἁπάσης ἔκρινεν. φυγὰς δὲ καὶ στάσεις καὶ νόμων συγχύσεις καὶ πολιτειῶν μεταβολάς, ἔτι δὲ παίδων ὕβρεις καὶ γυναικῶν αἰσχύνας καὶ χρημάτων ἁρπαγάς, τίς ἂν δύναιτο διεξελθεῖν; πλὴν τοσοῦτον εἰπεῖν ἔχω καθ' ἁπάντων ὅτι τὰ μὲν ἐφ' ἡμῶν δεινὰ ῥᾳδίως ἄν τις ἑνὶ ψηφίσματι διέλυσε, τὰς δὲ σφαγὰς καὶ τὰς ἀνομίας τὰς ἐπὶ τούτων γενομένας οὐδεὶς ἂν ἰάσασθαι δύναιτο.

XXXIII Καὶ μὴν οὐδὲ τὴν παροῦσαν εἰρήνην, οὐδὲ τὴν αὐτονομίαν τὴν ἐν ταῖς πολιτείαις μὲν οὐκ ἐνοῦσαν, ἐν δὲ ταῖς συνθήκαις ἀναγεγραμμένην, ἄξιον ἑλέσθαι μᾶλλον ἢ τὴν ἀρχὴν τὴν ἡμετέραν. τίς γὰρ ἂν τοιαύτης καταστάσεως ἐπιθυμήσειεν ἐν ᾗ καταποντισταὶ μὲν τὴν θάλατταν κατέχουσι,

---

μησὸν] Hoc ad 30 tyrannorum a Spartanis constitutorum tempora videtur referendum, a quibus Areop. p. 153. narrat mille et quingentos cives occisos, (quanquam addit ἀκρίτους, quod fortasse non de omnibus omnino capiendum est) ultra quinque millia fugiendi consilium capere coacta esse: rursus Panath. p. 246. plures esse indicta causa a Lacedaemoniis tempore imperii occisos quam Athenis ab urbe condita in iudicium adductos. Cf. Xen. Hell. II. 4, 13. ubi eorum crudelitas per octo menses grassata chronologice dicitur (nam non-integrum annum tyranni fuerunt): ut ab Isocrate per tres menses, h. e. satis breve temporis spatium." Morus. 24 καθ' ἁπάντων G κατὰ πάντων V. 26 „διέλυσε] Prudenter de Atheniensium iniuriis verbo leniore διαλύειν, finire, utitur, graviore ἰᾶσθαι de Lacedaemoniorum saevitia." Morus. 28 „εἰρήνην] Pacem ignominioso Antalcidae foedere a Graecis cum Artaxerxe Mnemone sancitam: quo foedere quum Lacedaemonii primum Atheniensibus molesti esse cuperent, tamen ad extremum etiam Athenienses conditiones pacis probarunt. Eius historia e Xen. Hellen. IV. 8, 12 sqq. et Diod. Sic. XIV, 110. petenda est. Ipsa formula pacis, αἱ συνθῆκαι, apud Xen. l. c. V. 1, 28. legitur. Cf. Iustin. VI, 6. Quantum rex Persiae creverit hac pace, paucis, sed perspicue infra c. 37. fin. traditur: τὴν γὰρ Ἀσίαν — τειχίζειν. Cf. c. 34. in: c. 47. Panath. p. 254. Plutarch. in Artaxerxe p. 1022. ed. Francof." Morus. 32 „καταποντισταὶ] Odii augendi causa Lacedaemonios et Persas appellat piratas, ut eorum crudelitatem in expeditionibus marinis indicet. Verbum καταποντιστής suo significatu de piratis occurrit Panath. p. 280.

πελτασταὶ δὲ τὰς πόλεις καταλαμβάνουσιν, ἀντὶ δὲ τοῦ πρὸς ἑτέρους περὶ τῆς χώρας πολεμεῖν ἐντὸς τείχους οἱ πολῖται πρὸς ἀλλήλους μάχονται; πλείους δὲ πόλεις αἰχμάλωτοι γε- 65 γόνασιν ἢ πρὶν τὴν εἰρήνην ἡμᾶς ποιήσασθαι, διὰ δὲ τὴν πυκνότητα τῶν μεταβολῶν ἀθυμοτέρως διάγουσιν οἱ τὰς
53 πόλεις οἰκοῦντες τῶν ταῖς φυγαῖς ἐζημιωμένων· οἱ μὲν γὰρ τὸ μέλλον δεδίασιν, οἱ δ' ἀεὶ κατιέναι προςδοκῶσιν. τοσοῦτον δ' ἀπέχουσι τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας ὥςθ' αἱ μὲν ὑπὸ τυράννοις εἰσὶ, τὰς δ' ἁρμοσταὶ κατέχουσιν, ἔνιαι δ' ἀνάστατοι γεγόνασι, τῶν δ' οἱ βάρβαροι δεσπόται καθεστήκασιν· οὓς ἡμεῖς διαβῆναι τολμήσαντας εἰς τὴν Εὐρώπην καὶ μεῖζον ἢ προςῆκεν αὐτοῖς φρονήσαντας οὕτω διέθεμεν ὥςτε μὴ μόνον παύσασθαι στρατείας ἐφ' ἡμᾶς ποιουμένους, ἀλλὰ καὶ

---

et καταποντισμὸς, recens natorum, mari mersorum, nex p. 257. Demosth. c. Aristocr. p. 675. 676. λῃστὰς καὶ καταποντιστὰς ut synonyma coniungit." Morus. „πελτασταὶ] Retulerim ad Lacedaemonios, qui facta pace Antalcidae unam post aliam urbem hostiliter aggressi sunt, armisque ceperunt. Res narratur c. 35. Idem est, πόλεις αἰχμάλωτοι γεγόνασι. Ergo peltastae sunt omnino *armati*. (Male audierunt πελτασταὶ, quia erant ξένοι, *milites mercenarii* (ergo non omnino *armati*). ξενικὸν autem hoc primum fuit in Graecia. vid. Valesii Notae in Notas Maussaci ad Harpocrat. p. 322 sqq.)" Morus. 34 οἱ πολῖται πρὸς ἀλλήλους G πρὸς ἀλλ. οἱ π. V. 37 ἀθυμοτέρως G ἀθυμότερον V.

P. 53, 4 „ἁρμοστὴς ex etymologia et loquendi usu est omnino reipublicae administrator: v. Intt. ad Hesych. et Suidas et Wesseling. ad Diod. Sic. XIII, 66. Sed constat, verbo generis translato ad formam significandam, nominatim eos, qui a Lacedaemoniis praefecti sunt urbibus, eorum imperio subiectis, nomen τῶν ἁρμοστῶν gessisse. Dem. de Cor. c. 28. p. 258. ed. Reisk. de hoc ipso tempore imperii Spartanorum: Λακεδαιμόνιοι τὰ κύκλῳ τῆς Ἀττικῆς κατεῖχον ἁρμοσταῖς. Polyb. IV, 27. Xen. de rep. Laced. XIV, 2. dicit, olim Lacedaemonios maluisse domi vivere, quam ἁρμόζειν (i. e. εἶναι ἁρμοστὰς) ἐν ταῖς πόλεσιν." Morus. 5 „δεσπόται] Hinc c. 34. οἱ Λακεδαιμόνιοι πολλοὺς τῶν Ἑλλήνων ἐκδότους τοῖς βαρβάροις ἐποίησαν. Cf. c. 37. 44. 47. et formula pacis apud Xenoph." Morus. 7 „οὕτω διέθεμεν] *Eo redegimus.* Videtur autem totum hoc de rebus Cimonis ad Eurymedontem intelligendum esse. Thucyd. I, 100. Diod. Sic.

τὴν αὑτῶν χώραν ἀνέχεσθαι πορθουμένην; καὶ διακοσίαις καὶ χιλίαις ναυσὶ περιπλέοντας εἰς τοσαύτην ταπεινότητα κατεστήσαμεν ὥςτε μακρὸν πλοῖον ἐπὶ τάδε Φασήλιδος μὴ καθέλκειν, ἀλλ᾽ ἡσυχίαν ἄγειν καὶ τοὺς καιροὺς περιμένειν, ἀλλὰ μὴ τῇ παρούσῃ δυνάμει πιστεύειν. καὶ ταῦθ᾽ ὅτι διὰ τὴν τῶν προγόνων τῶν ἡμετέρων ἀρετὴν οὕτως εἶχεν αἱ τῆς πόλεως συμφοραὶ σαφῶς ἐπέδειξαν· ἅμα γὰρ ἡμεῖς τε τῆς ἀρχῆς ἀπεστερούμεθα καὶ τοῖς Ἕλλησιν ἀρχὴ τῶν κακῶν ἐγίγνετο. μετὰ γὰρ τὴν ἐν Ἑλληςπόντῳ γενομένην ἀτυχίαν ἑτέρων ἡγεμόνων καταστάντων ἐνίκησαν μὲν οἱ βάρβαροι ναυμαχοῦντες, ἦρξαν δὲ τῆς θαλάττης, κατέσχον δὲ τὰς πλείστας τῶν νήσων, ἀπέβησαν δ᾽ εἰς τὴν Λακωνικὴν, Κύθηρα δὲ κατὰ κράτος εἷλον, ἅπασαν δὲ τὴν Πελοπόννησον κακῶς ποιοῦντες περιέπλευσαν.

XXXIV μάλιστα δ᾽ ἄν τις συνίδοι τὸ μέγεθος τῆς μεταβολῆς, εἰ παραναγνοίη τὰς συνθήκας τάς τ᾽ ἐφ᾽ ἡμῶν γενομένας καὶ τὰς νῦν ἀναγεγραμμένας. τότε μὲν γὰρ ἡμεῖς φανησόμεθα τὴν ἀρχὴν τὴν βασιλέως ὁρίζοντες καὶ τῶν φόρων ἐνίους τάττοντες καὶ κωλύοντες αὐτὸν τῇ θαλάττῃ χρῆσθαι·

XI, 60, 61.“ Morus. 11 ἐπὶ τάδε G ἐντὸς V. Similiter tres alios locos Isocratis interpolavit correctorum imperitia: vid. praefat. ad Isocrat. p. VII. 12 „καθέλκειν] Cf. Areop. p. 156. Panath. p. 245. Scilicet Athenienses cum Artaxerxe Longimano, ad Cyprum victo a Cimone, foedus fecerunt, ut est apud Lycurg. in Leocr. c. 17. μακρῷ πλοίῳ μὴ πλεῖν ἐντὸς Κυανέων καὶ Φασήλιδος. Hoc pro Φάσιδος scribendum esse Taylorus recte docuit, et Diod. Sic. XII, 4. ac Suidam in Κίμων laudavit. Aristides Panath. p. 57. versus septentrionem Cyaneas, versus meridiem Chelidonias (insulas, Phaselidi vicinas, v. Suid. l. c.) terminos constitutos dicit. Adde Plutarch. in Cimone p. 487. ed. Francof. Hoc ergo c. 34. voluit Isocrates, quum τὴν ἀρχὴν τὴν βασιλέως ὁρίζειν scripsit.“ Morus. 17 „ἀτυχίαν] Clades Atheniensium ad flumen Aegos, ubi victoria Lysandri Lacedaemoniis imperium Graeciae peperit. Xen. Hellen. II, 1. Diod. Sic. III, 106. Cornel. Lys.“ Morus. 18 „ναυμαχοῦντες] Ut postea Artaxerxes Mnemon ad Gnidum, de quo c. 39.“ Morus.

23 εἰ παραναγνοίη G εἴπερ ἀναγνοίη V. 26 θαλάττῃ G θαλάσσῃ V: quae forma auctore G ex Isocrate ita sublata est, unus ut supersit locus quem corrigi oporteat in Panathen. p. 212,

νῦν δ' ἐκεῖνός ἐστιν ὁ διοικῶν τὰ τῶν Ἑλλήνων, καὶ προστάττων ἃ χρὴ ποιεῖν ἑκάστους, καὶ μόνον οὐκ ἐπιστάθμους ἐν ταῖς πόλεσι καθιστάς. πλὴν γὰρ τούτου τί τῶν ἄλλων ὑπόλοιπόν ἐστιν; οὐ καὶ τοῦ πολέμου κύριος ἐγένετο, καὶ τὴν 66 εἰρήνην ἐπρυτάνευσε, καὶ τῶν παρόντων πραγμάτων ἐπιστάτης καθέστηκεν; οὐχ ὡς ἐκεῖνον πλέομεν ὥςπερ πρὸς δεσπότην, ἀλλήλων κατηγορήσοντες; οὐ βασιλέα τὸν μέγαν αὐτὸν προςαγορεύομεν ὥςπερ αἰχμάλωτοι γεγονότες; οὐκ ἐν τοῖς πολέμοις τοῖς πρὸς ἀλλήλους ἐν ἐκείνῳ τὰς ἐλπίδας ἔχομεν τῆς σωτηρίας, ὃς ἀμφοτέρους ἡμᾶς ἡδέως ἂν ἀπολέσειεν;

Ὧν ἄξιον ἐνθυμηθέντας ἀγανακτῆσαι μὲν ἐπὶ τοῖς πα-
54 ροῦσι, ποθέσαι δὲ τὴν ἡγεμονίαν τὴν ἡμετέραν, μέμψασθαι δὲ Λακεδαιμονίοις ὅτι τὴν μὲν ἀρχὴν εἰς τὸν πόλεμον κατέστησαν ὡς ἐλευθερώσοντες τοὺς Ἕλληνας, ἐπὶ δὲ τελευτῆς

---

15. (241 d.) 28 „ἐπίσταθμος, κατὰ σατραπείαν κύριος. (i. e. satrapa.) Harpocr. Suidas.“ Morus. 31 „τὴν εἰρήνην ἐπρυτάνευσε] *Suo arbitratu de pace decernit*, eam facit, suadet, tuetur, mutat, tollit: plane idem, quod hoc ipso loco, κύριος ἐγένετο, *penes eum est arbitrium*. Diod. Sic. XIV, 110. constitutum narrat, ut, si qui non paruissent foederi, contra eos Artaxerxes διὰ τῶν εὐδοκούντων (*e sua sententia, ut ipsi placeret*, εὐδοκουμένως αὐτῷ. Polyb. XVII, 32.) bellum gereret. Aristid. Panath. p. 72. regi Persiae Asiaticos Graecos deditos queritur, datamque potestatem τοῖς ἄλλοις (Europaeis Graecis) τὰ δίκαια ὁρίζειν. Proinde Graeci non solum pace Antalcidae velut norma usi sunt, Xen. Hellen. VI. 5, 2. sed Artaxerxes etiam iis saepe suasit pacem, Diod. Sic. XV, 38. 50. 70. 76. Usurpari autem πρυτανεύειν significatu administrandi et moderandi notum est. Lucian. T. II. p. 379. simillimum est, τοὺς στασιάζοντας διαλλάττειν, καὶ ἐκείνοις εἰρήνην πρυτανεύειν. Dion. Halic. T. II. p. 34. ed. Sylburg. de rege, pacem patriae conservante, τὴν εἰρήνην πρυτανεύει. Hesychius: ἐπρυτάνευε, διῴκει, quod et de hoc loco valere potest. Cf. Harpocrat. in πρυτανεύοντα.“ Morus. 32 „Lego omnino Panath. p. 266. πρέσβεις πέμπομεν ὡς ἐκεῖνον, ἐλπίζοντες, ὁποτέροις ἂν οἰκειότερον διατεθείη, κυρίους τότε (f. τούτους) γενήσεσθαι τῆς ἐν τοῖς Ἕλλησι πλεονεξίας.“ Morus. 37 affert grammaticus Bekkeri Anecd. 143, 16. ἄξιον] ἀνάξιον G.

P. 54, 1 ποθέσαι G ποθῆσαι V. In Aeginet. p. 368, 11. (385 d.) ἐπόθεσεν G ἐπόθησεν V. 3 ἐπὶ δὲ τελευτῆς G ἐπὶ τε-

οὕτω πολλοὺς αὐτῶν ἐκδότους ἐποίησαν, καὶ τῆς μὲν ἡμετέρας πόλεως τοὺς Ἴωνας ἀπέστησαν, ἐξ ἧς ἀπῴκησαν καὶ δι' ἣν πολλάκις ἐσώθησαν, τοῖς δὲ βαρβάροις αὐτοὺς ἐξέδοσαν, ὧν ἀκόντων τὴν χώραν ἔχουσι καὶ πρὸς οὓς οὐδεπώποτ' ἐπαύσαντο πολεμοῦντες. καὶ τότε μὲν ἠγανάκτουν, ὅθ' ἡμεῖς νομίμως ἐπάρχειν τινῶν ἠξιοῦμεν· νῦν δ' εἰς τοιαύτην δουλείαν καθεστώτων οὐδὲν φροντίζουσιν αὐτῶν, οἷς οὐκ ἐξαρκεῖ δασμολογεῖσθαι καὶ τὰς ἀκροπόλεις ὁρᾶν ὑπὸ τῶν ἐχθρῶν κατεχομένας, ἀλλὰ πρὸς ταῖς κοιναῖς συμφοραῖς καὶ τοῖς σώμασι δεινότερα πάσχουσι τῶν παρ' ἡμῖν ἀργυρωνήτων· οὐδεὶς γὰρ ἡμῶν οὕτως αἰκίζεται τοὺς οἰκέτας ὡς ἐκεῖνοι τοὺς ἐλευθέρους κολάζουσιν. μέγιστον δὲ τῶν κακῶν, ὅταν ὑπὲρ αὐτῆς τῆς δουλείας ἀναγκάζωνται συστρατεύεσθαι, καὶ πολεμεῖν τοῖς ἐλευθεροῦν ἀξιοῦσι, καὶ τοιούτους κινδύνους ὑπομένειν ἐν οἷς ἡττηθέντες μὲν παραχρῆμα διαφθαρήσονται, κατορθώσαντες δὲ μᾶλλον εἰς τὸν ἐπίλοιπον χρόνον δουλεύσουσιν.

XXXV *ὧν τίνας ἄλλους αἰτίους χρὴ νομίζειν ἢ Λακεδαιμονίους, οἳ τοσαύτην ἰσχὺν ἔχοντες περιορῶσι τοὺς μὲν αὐτῶν συμμάχους γενομένους οὕτω δεινὰ πάσχοντας, τὸν δὲ βάρβαρον τῇ τῶν Ἑλλήνων ῥώμῃ τὴν ἀρχὴν τὴν αὑτοῦ κατασκευαζόμενον; καὶ πρότερον μὲν τοὺς τυράννους ἐξέβαλλον, τῷ δὲ*

λευτῆς δὲ V. 4 *ἐκδότους* G *ἐκδότους τοῖς βαρβάροις* V. 6 „*ἐξέδοσαν*] In formula pacis Antalcidae, Xen. Hellen. V. 1, 28. *Ἀρταξέρξης νομίζει δίκαιον τὰς ἐν τῇ Ἀσίᾳ πόλεις* (i. e. *τοὺς Ἴωνας*) *ἑαυτοῦ εἶναι.* Ergo *ἀπέστησαν* significat, *a nobis nostraque societate separatos esse voluerunt;* eo, quod Persico imperio eos subesse passi sunt.“ Morus. 7 *ἐπαύσαντο*] *παύσονται* pr. G, si sensum spectas, absurde, si linguam, soloece. 9 *τοιαύτην* G *τοσαύτην* V. 10 „*οὐκ ἐξαρκεῖ*] *Qui non satis miseriarum pati videntur, quod tributa ab iis exiguntur.* Nempe Lacedaemonii imperarunt iis tributa. Cf. c. 36.“ Morus. 13 „*οὐδὲν ἧττον τῶν ἀργυρωνήτων δουλεύουσι.* Plataic. p. 300.“ Morus. 18 *ἐλευθεροῦν ἀξιοῦσι*] *ἐλευθέροις ἀξιοῦσιν εἶναι* G, quod aliquo modo ferri potest si *τοῖς ἐλευθέρους* scribas. 19 *λοιπὸν* G *ἐπίλοιπον* V. *τὸν ἐπίλοιπον χρόνον* legitur in Isocrate p. 31, 5. 107, 2. 118, 19. 188, 30. 190, 10. 205, 9. 354, 2. 398, 14. 21 *αυτῶν* G *ἑαυτῶν* V. 24 „Opem tulerunt Atheniensibus, quum Hippiam eiecerunt. Herodot. V, 62—65. Thucyd.

πλήθει τὰς βοηθείας ἐποιοῦντο, νῦν δὲ τοσοῦτον μεταβεβλή- 67
κασιν ὥςτε ταῖς μὲν πολιτείαις πολεμοῦσι, τὰς δὲ μοναρχίας, συγκαθιστᾶσι. τὴν μέν γε Μαντινέων πόλιν εἰρήνης ἤδη γεγενημένης ἀνάστατον ἐποίησαν, καὶ τὴν Θηβαίων Καδμείαν κατέλαβον, καὶ νῦν Ὀλυνθίους καὶ Φλιασίους πολιορκοῦσιν, Ἀμύντᾳ δὲ τῷ Μακεδόνων βασιλεῖ καὶ Διονυσίῳ τῷ Σικελίας τυράννῳ καὶ τῷ βαρβάρῳ τῷ τῆς Ἀσίας κρατοῦντι συμπράτ-

---

VI, 59 sqq. Xen. Hellen. VI. 5, 33." Morus. 25 δὲ G δὲ εἰς V. 26 „Ut oppositio πολιτείας et μοναρχίας ostendit, πολιτείαν esse hoc loco δημοκρατίαν aut πλῆθος, quod ante dixerat: ita Harpocratio in πολιτεία docet, rhetores hoc verbo ἰδίως uti de democratia, laudatque Isocratis Panegyricum. Demosth. de Rhod. libert. T. I. p. 196. ed. Reisk. οἱ τὰς πολιτείας καταλύοντες, καὶ μεθιστάντες εἰς ὀλιγαρχίαν, κοινοὶ ἐχθροὶ πάντων τῶν ἐλευθερίας ἐπιθυμούντων. Cf. Henr. Steph. diatr. 5. in Isocr. p. 16." Morus. 27 μέν γε G δὲ V. „Μαντινέων] De Pace p. 179. Μαντινέας διῴκισαν, *divisos* in quatuor pagos *habitare iusserunt*. Xen. Hellen. V, 2. Wesselingius ad Diod. Sic. XV, 5. cf. c. 12. Polyb. IV, 27. Ipsa urbs diruta est. Cf. Harpocrat. in Μαντινέων διοικισμός." Morus. 28 καὶ τὴν G τὴν δὲ V. „Καδμείαν] Phoebidas Lacedaemonius, capta per fraudem Cadmea, ipse quidem punitus est, sed non item deductum praesidium. Plataic. p. 300. Xen. Hellen. V. 2, 17 sqq. Diod. Sic. XV, 20. Polyb. IV, 27." Morus. 29 Ὀλυνθίους καὶ Φλιασίους πολιορκοῦσιν G Ὀλυνθίοις καὶ Φλιασίοις πολεμοῦσιν V. „Ὀλυνθίους] Initia sunt apud Xen. l. c. §. 11. Reliqua §. 27. Tum c. 3. init. et §. 18—26. Adde Diod. Sic. XV, 19 sqq. ubi Lacedaemonios dicit denuo habuisse principatum Graeciae. Ex his locis, praecipue Diodori, simul intelligitur, contra Olynthios pugnanti Amyntae Spartanos opem tulisse." Morus. „Φλιασίους] Tandem expugnati sunt: de Pace p. 179. Uberius narravit Xenoph. Hellen. V. 2, 8. V. 3, 10—25. Diod. Sic. XV, 19." Morus. 30 „Διονυσίῳ] Misso ad Dionysium Aristo, qui verbis defenderet libertatem Graecorum in Sicilia, re oppimeret. Diod. Sic. XIV, 10. quem locum Wolfius indicavit. Cf. Xenoph. Hellen. VI. 2. 3. 21. Diod. Sic. XV, 23. Iidem adiuverunt Dionysium auxiliaribus submittendis, Diod. Sic. XIV, 44. omnique modo eius tyrannidem munierunt, ut ipsi, tanto adiutore freti, crescerent. Sed res diu ante coepta est quam Panegyricus editus est. Dicemus ergo, quum Isocrates de praesenti tempore loquatur, illa fuisse initia societatis, ad tempora usque Panegyrici cultae." Morus. 31 „τῷ

τουσιν ὅπως ὡς μεγίστην ἀρχὴν ἕξουσιν. καίτοι πῶς οὐκ ἄτοπον τοὺς προεστῶτας τῶν Ἑλλήνων ἕνα μὲν ἄνδρα τοσούτων ἀνθρώπων καθιστάναι δεσπότην ὧν οὐδὲ τὸν ἀριθμὸν ἐξευρεῖν ῥᾴδιόν ἐστι, τὰς δὲ μεγίστας τῶν πόλεων μηδ' αὐτὰς αὑτῶν ἐᾶν εἶναι κυρίας, ἀλλ' ἀναγκάζειν δουλεύειν ἢ ταῖς μεγίσταις συμφοραῖς περιβάλλειν. ὃ δὲ πάντων δεινότατον,
55 ὅταν τις ἴδῃ τοὺς τὴν ἡγεμονίαν ἔχειν ἀξιοῦντας ἐπὶ μὲν τοὺς Ἕλληνας καθ' ἑκάστην τὴν ἡμέραν στρατευομένους, πρὸς δὲ τοὺς βαρβάρους εἰς ἅπαντα τὸν χρόνον συμμαχίαν πεποιημένους.

XXXVI Καὶ μηδεὶς ὑπολάβῃ με δυςκόλως ἔχειν, ὅτι τραχύτερον τούτων ἐμνήσθην, προειπὼν ὡς περὶ διαλλαγῶν ποιήσομαι τοὺς λόγους· οὐ γὰρ ἵνα πρὸς τοὺς ἄλλους διαβάλω τὴν πόλιν τὴν Λακεδαιμονίων οὕτως εἴρηκα περὶ αὐτῶν, ἀλλ' ἵν' αὐτοὺς ἐκείνους παύσω, καθ' ὅσον ὁ λόγος δύναται, τοιαύτην ἔχοντας τὴν γνώμην. ἔστι δ' οὐχ οἷόν τ' ἀποτρέπειν τῶν ἁμαρτημάτων, οὐδ' ἑτέρων πράξεων πείθειν ἐπιθυμεῖν, ἢν μή τις ἐρρωμένως ἐπιτιμήσῃ τοῖς παροῦσιν· χρὴ δὲ κατηγο-

---

βαρβάρῳ] Facta cum eo per Antalcidam pace. v. ad c. 33. et deinde re, opera, studio omni. Ne vero quis additamentum ineptum putet, τῆς Ἀσίας κρατοῦντι, quod in se supervacuum esse fatemur, sciendum est, hoc additamentum esse praeparationem lectorum ad argumentationem statim adiectam, τοσούτων ἀνθρώπων δεσπότης. Hic igitur est ille τῆς Ἀσίας (ὅλης) κρατήσας. Non verbum βάρβαρος multitudinem subiectorum indicat, sed notio *domini Asiae.*" Morus. τῷ τῆς G τῆς V et Bekker. Anecd. 173, 8. 32 ὡς add. G. 36 αυτῶν G ἑαυτῶν V.

P. 55, 2 καθ' ἑκάστην ἡμέραν G μόνον οὐχὶ καθ' ἑκάστην ἡμέραν V, ex temeraria grammatici correctione, cui altera scriptura nimium dicere videbatur. Ceterum scripsi καθ' ἑκάστην τὴν ἡμέραν: de quo vide ad 36, 22. 6 διαβάλω] διαβάλλω pr. G.

9 ἔχοντας τὴν γνώμην G γνώμην ἔχοντας V. 11 παροῦσιν G ἁμαρτάνουσι V. κατηγορεῖν fuit qui temere tentaret. Dignus est qui cum his comparetur Isocratis locus de Pace p. 149, 36. (173 c.) ἀνάγκη δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας τοῖς μὲν λόγοις χρῆσθαι παραπλησίοις, τὰς δὲ διανοίας ἔχειν ἀλλήλαις ὡς οἷόν τ' ἐναντιωτάτας. ὥστε περὶ τῶν ταὐτὰ λεγόντων οὐκ ἀεὶ προςήκει τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν, ἀλλὰ τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας μισεῖν ὡς κακόνους ὄντας τῇ πόλει, τοὺς δ' ἐπ' ὠφελείᾳ

ῥεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ τοιαῦτα λέγοντας, νουθε-
τεῖν δὲ τοὺς ἐπ' ὠφελίᾳ λοιδοροῦντας. τὸν γὰρ αὐτὸν λόγον
οὐχ ὁμοίως ὑπολαμβάνειν δεῖ, μὴ μετὰ τῆς αὐτῆς διανοίας
λεγόμενον. ἐπεὶ καὶ τοῦτ' ἔχομεν αὐτοῖς ἐπιτιμᾶν, ὅτι τῇ
μὲν αὐτῶν πόλει τοὺς ὁμόρους εἱλωτεύειν ἀναγκάζουσι, τῷ
δὲ κοινῷ τῷ τῶν συμμάχων οὐδὲν τοιοῦτον κατασκευάζου-
σιν, ἐξὸν αὐτοῖς τὰ πρὸς ἡμᾶς διαλυσαμένοις ἅπαντας
τοὺς βαρβάρους περιοίκους ὅλης τῆς Ἑλλάδος καταστῆσαι.
καίτοι χρὴ τοὺς φύσει καὶ μὴ διὰ τύχην μέγα φρονοῦντας
τοιούτοις ἔργοις ἐπιχειρεῖν πολὺ μᾶλλον ἢ τοὺς νησιώτας 68
δασμολογεῖν, οὓς ἄξιόν ἐστιν ἐλεεῖν, ὁρῶντας τούτους μὲν
διὰ σπανιότητα τῆς γῆς ὄρη γεωργεῖν ἀναγκαζομένους, τοὺς
δ' ἠπειρώτας δι' ἀφθονίαν τῆς χώρας τὴν μὲν πλείστην αὐ-

(sic G: ὠφελείᾳ V) νουθετοῦντας ἐπαινεῖν. 12 τοιαῦτα λέγοντας G λοιδοροῦντας V. 13 ὠφελίᾳ] Scribebatur ὠφελείᾳ. λοιδοροῦντας G τοιαῦτα πράττοντας V. 16 „εἱλωτεύειν] *Helotum more servire.* Vid. ad c. 32. Caeteros accolas eodem modo, quo Helotas, tractant. Harpocratio: *Εἱλωτεύειν, δουλεύειν· Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ.*" Morus. 17 τῷ τῶν G τῶν V. 18 ἐξὸν G ἐξ ὧν ἔσται V. ante ἅπαντας in G deletae litterae duae. 19 „περιοίκους] Persas eo redigere ut Graecis sint tales, quales Spartanis sunt περίοικοι. Sed περίοικοι a Spartanis dicebantur vicinorum Spartae oppidorum incolae, liberi quidem, sed imperio Spartanorum subiecti, iure autem civitatis non donati. Omnino lenitate nominis, *vicinus, finitimus*, tegitur crudelitas aut insolentia rei, *servitutis*, deteriorisque conditionis. Caeterum nomina varia, quibus singulae gentes adpellabant addictos ita sibi deteriore conditione et subditos collegit Pollux Onomast. III. 83." Morus. 21 „νησιώτας] Asiae insulas potissimum indicat." Morus. 22 τούτους G τοὺς V. 23 ὄρη G τὰ ὄρη V. 24 „ἠπειρώτας] Persas, et quicunque in Asia minore, praeter insulanos Persico imperio parent. Ipsum consilium Isocratis declarat Persas hoc toto loco dici crescentes et opulentos negligentia quadam Lacedaemoniorum. Accedit auctoritas Harpocrationis in Ἤπειρον, unde verba huc retulimus: „Ἤπειρον· Σύνηθές ἐστι τῷ Ἰσοκράτει, τὴν ὑπὸ τῷ βασιλεῖ τῶν Περσῶν γῆν (Asiam minorem et Persiam) οὕτω καλεῖν. Loca Isocratis haec sunt: c. 42. τοῖς ἠπειρώταις, Persis: Nam quae hoc loco de odio Atheniensium erga ἠπειρώτας narrat, ea

τῆς ἀργὸν περιορῶντας, ἐξ ἧς δὲ καρποῦνται τοσοῦτον πλοῦτον κεκτημένους.

XXXVII Ἡγοῦμαι δ', εἴ τινες ἄλλοθέν ποθεν ἐπελθόντες θεαταὶ γένοιντο τῶν παρόντων πραγμάτων, πολλὴν ἂν αὐτοὺς καταγνῶναι μανίαν ἀμφοτέρων ἡμῶν, οἵτινες οὕτω περὶ μικρῶν κινδυνεύομεν, ἐξὸν ἀδεῶς πολλὰ κεκτῆσθαι, καὶ τὴν ἡμετέραν αὐτῶν χώραν διαφθείρομεν, ἀμελήσαντες τὴν Ἀσίαν καρποῦσθαι. καὶ τῷ μὲν οὐδὲν προὐργιαίτερόν ἐστιν ἢ σκοπεῖν ἐξ ὧν μηδέποτε παυσόμεθα πρὸς ἀλλήλους πολεμοῦντες· ἡμεῖς δὲ τοσούτου δέομεν συγκρούειν τι τῶν ἐκείνου πραγμάτων ἢ ποιεῖν στασιάζειν ὥστε καὶ τὰς διὰ τύχην αὐτῷ γεγενημένας ταραχὰς συνδιαλύειν ἐπιχειροῦμεν, οἵτινες καὶ τοῖν στρατοπέδοιν τοῖν περὶ Κύπρον ἐῶμεν αὐτὸν τῷ μὲν χρη-

---

statim exemplis odii erga Persas illustrat. C. 51. τὸν πόλεμον πρὸς τοὺς ἠπειρώτας ποιεῖσθαι, transferre bellum ad eos, qui in Asia Persis parent. C. 43. fin. Rex Persiae invitis ἠπειρώταις imperat, i. e. satrapiis Asiae minoris, de quibus toto capite egit. Ibid. αἱ νῆσοι αἱ περὶ τὴν ἤπειρον, ad oras Asiae minoris, vide ibi exempla: paullo post et in orat. ad Phil. p. 103. διαβαίνειν εἰς τὴν ἤπειρον, in Asiam, quae Persis paret, traiicere. Euag. p. 200. τὰ περὶ τὴν ἤπειρον, res Asiae, Persis subiectae. Xen. Hellen. III. 1, 3. de Asia, αἱ ἐν τῇ ἠπείρῳ Ἑλληνίδες πόλεις. Nam quas copias Xenophon ex his oppidis venisse dicit, eas Diod. Sic. l. XIV. p. 670. Asiaticas fuisse tradit. Aristid. Panath. p. 27. οἱ ἐν τῇ ἠπείρῳ Ἴωνες. Auctor orat. funebr. in opp. Demosth. p. 1392. τὸν ἐξ ἁπάσης τῆς ἠπείρου στόλον dixit classem Persicam. Adde Paneg. c. 46. et Henr. Steph. diatr. 7. in Isocr. p. 29. Vales. ad Harpocrat. p. 87 sq." Morus. τῆς add. G. 27 ποθεν om. G. 31 τὴν G τοῦ τὴν V. 32 πρ. ἐστιν G ἐστι πρ. V. 33 μηδέποτε G οὐδέποτε V. πρὸς ἀλλ. πολ. G πολ. πρὸς ἀλλ. V. 35 τύχην G τύχας V. 36 συνδιαλύειν G διαλύειν V. 37 „τοῖν στρατοπέδοιν] Exercitus, quo socio Artaxerxes usus est ad Euagoram, Salaminiae tyrannum, coërcendum, qui Cyprum sibi vindicare moliebatur, fuit praecipue Ionum duce Tiribazo, quod hic narratur: is, quem obsedit, fuit Euagorae, dimicantis contra Persas, a quorum imperio defecerat, c. 39. Sunt ergo οἱ ἀφεστῶτες Euagoras cum sociis, quorum nomina prodidit Diod. Sic. XV, 2. De Athen. et Euagorae societate etiam Xen. Hellen. IV. 8, 24. V. 1, 10.

56 σθαι, τὸ δὲ πολιορκεῖν, ἀμφοτέροιν αὐτοῖν τῆς Ἑλλάδος ὄντοιν. οἵ τε γὰρ ἀφεστῶτες πρὸς ἡμᾶς τ' οἰκείως ἔχουσι καὶ Λακεδαιμονίοις σφᾶς αὐτοὺς ἐνδιδόασι, τῶν τε μετὰ Τιριβάζου στρατευομένων καὶ τοῦ πεζοῦ τὸ χρησιμώτατον ἐκ τῶνδε τῶν τόπων ἤθροισται, καὶ τοῦ ναυτικοῦ τὸ πλεῖστον ἀπ' Ἰωνίας συμπέπλευκεν, οἳ πολὺ ἂν ἥδιον κοινῇ τὴν Ἀσίαν ἐπόρθουν ἢ πρὸς ἀλλήλους ἕνεκα μικρῶν ἐκινδύνευον. ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα πρόνοιαν, ἀλλὰ περὶ μὲν τῶν Κυκλάδων νήσων ἀμφισβητοῦμεν, τοσαύτας δὲ τὸ πλῆθος πόλεις καὶ τηλικαύτας τὸ μέγεθος δυνάμεις οὕτως εἰκῇ τῷ βαρβάρῳ παραδεδώκαμεν. τοιγαροῦν τὰ μὲν ἔχει, τὰ δὲ μέλλει, τοῖς δ' ἐπιβουλεύει, δικαίως ἁπάντων ἡμῶν καταπεφρονηκώς. διαπέπρακται γὰρ ὃ τῶν ἐκείνου προγόνων οὐδεὶς πώποτε· τήν τε γὰρ Ἀσίαν διωμολόγηται καὶ παρ' ἡμῶν καὶ παρὰ Λακεδαιμονίων βασιλέως εἶναι, τάς τε πόλεις τὰς Ἑλληνίδας οὕτω κυρίως παρείληφεν ὥςτε τὰς μὲν αὐτῶν κατασκάπτειν, ἐν δὲ ταῖς ἀκροπόλεις ἐντειχίζειν. καὶ ταῦτα πάντα γέγονε διὰ τὴν ἡμετέραν ἄνοιαν, ἀλλ' οὐ διὰ τὴν ἐκείνου δύναμιν.

XVIII Καίτοι τινὲς θαυμάζουσι τὸ μέγεθος τῶν βασιλέως πρα- 69
γμάτων, καὶ φασὶν αὐτὸν εἶναι δυςπολέμητον, διεξιόντες ὡς πολλὰς τὰς μεταβολὰς τοῖς Ἕλλησι πεποίηκεν. ἐγὼ δ' ἡγοῦμαι μὲν τοὺς ταῦτα λέγοντας οὐκ ἀποτρέπειν, ἀλλ' ἐπισπεύδειν τὴν στρατείαν· εἰ γὰρ ἡμῶν ὁμονοησάντων αὐτὸς ἐν ταραχαῖς ὢν χαλεπὸς ἔσται προςπολεμεῖν, ἦ που σφόδρα χρὴ δεδιέναι τὸν καιρὸν ἐκεῖνον ὅταν τὰ μὲν τῶν βαρβάρων καταστῇ καὶ διὰ μιᾶς γένηται γνώμης, ἡμεῖς δὲ πρὸς ἀλλήλους ὥςπερ νῦν πολεμικῶς ἔχωμεν. οὐ μὴν οὐδ' εἰ συναγορεύουσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις, οὐδ' ὣς ὀρθῶς περὶ τῆς ἐκείνου δυνάμεως γιγνώσκουσιν. εἰ μὲν γὰρ ἀπέφαινον αὐτὸν ἅμα

P. 56, 1 τῆς G ἐκ τῆς V. 3 Τιριβάζου] τειριβάζου G. Τηρίβαζος dicitur tum aliis tum Diodoro libr. XV. cap. 8 et seqq. ubi ex libro Coisliniano Τιρίβαζος restituendus. 5 πλεῖστον G πλεῖστον μέρος V. 9 πόλεις G τριήρεις V. 17 ἐντειχίζειν G τειχίζειν V. 22 τοῖς G ἐν τοῖς V. πεποίηκεν G πεποίηται V. 23 τοὺς ταῦτα G ταῦτα τοὺς V. 24 αὐτὸς G ἁπάντων

τοῖν πολέοιν ἀμφοτέροιν πρότερόν ποτε περιγεγενημένον, εἰκότως ἂν ἡμᾶς καὶ νῦν ἐκφοβεῖν ἐπεχείρουν· εἰ δὲ τοῦτο μὲν μὴ γέγονεν, ἀντιπάλων δ' ὄντων ἡμῶν καὶ Λακεδαιμονίων προςθέμενος τοῖς ἑτέροις ἐπικυδέστερα τὰ πράγματα θάτερ' ἐποίησεν, οὐδέν ἐστι τοῦτο σημεῖον τῆς ἐκείνου ῥώμης. ἐν γὰρ τοῖς τοιούτοις καιροῖς πολλάκις μικραὶ δυνάμεις μεγάλας τὰς ῥοπὰς ἐποίησαν, ἐπεὶ καὶ περὶ Χίων ἔχοιμ' ἂν
57 τοῦτον τὸν λόγον εἰπεῖν, ὡς ὁποτέροις ἐκεῖνοι προςθέσθαι
XXXIX βουληθεῖεν, οὗτοι κατὰ θάλατταν κρείττους ἦσαν. ἀλλὰ γὰρ οὐκ ἐκ τούτων δίκαιόν ἐστι σκοπεῖν τὴν βασιλέως δύναμιν ἐξ ὧν μεθ' ἑκατέρων γέγονεν, ἀλλ' ἐξ ὧν αὐτὸς ὑπὲρ αὑτοῦ πεπολέμηκεν. καὶ πρῶτον μὲν ἀποστάσης Αἰγύπτου τί διαπέπρακται πρὸς τοὺς ἔχοντας αὐτήν; οὐκ ἐκεῖνος μὲν ἐπὶ τὸν πόλεμον τοῦτον κατέπεμψε τοὺς εὐδοκιμωτάτους Περσῶν, Ἀβροκόμαν καὶ Τιθραύστην καὶ Φαρνάβαζον, οὗτοι δὲ τρί' ἔτη μείναντες, καὶ πλείω κακὰ παθόντες ἢ ποιήσαντες, τελευτῶντες οὕτως αἰσχρῶς ἀπηλλάγησαν ὥςτε τοὺς ἀφεστῶτας μηκέτι τὴν ἐλευθερίαν ἀγαπᾶν, ἀλλ' ἤδη καὶ τῶν ὁμόρων ζητεῖν ἐπάρχειν; μετὰ δὲ ταῦτ' ἐπ' Εὐαγόραν στρατεύσας, ὃς ἄρχει μὲν μιᾶς πόλεως, ἐν δὲ ταῖς συνθήκαις ἔκδο-

---

αὐτὸς V. 31 τοῖν πολέοιν ἀμφοτέροιν] ταῖν πολέοιν ἀμφοτέραιν V. 33 μὴ G μηδέποτε V. 35 θάτερ' G τούτων V. 37 τὰς add. G.

P. 57, 4 αυτοῦ G ἑαυτοῦ V. 8 Ἀβροκόμαν G et Harpocratio. Ἀκροκόμαν V. 12 „Εὐαγόραν] Voluerat Euagoras, Salaminiorum tyrannus, subiectam Artaxerxi Mnemoni Cyprum sibi omnino vindicare (cf. ad c. 37. Diod. Sic. XIV, 98.), quare bellum exarsit (XV, 2.), quod, si numeros recte iniit Diodorus, per decem annos sic gestum est, ut duobus annis extremis pugnaretur, reliquum tempus apparatu insumeretur (XV, 9. vid. Wesseling.), Euagoras denique, navali proelio victus, obsidione pressus, et a sociis fere derelictus, pacem peteret (ibid.). Historiam Euagorae laudandi causa narravit Isocr. Euag. p. 193.“ Morus.

13 „μιᾶς πόλεως τῶν ἐν Κύπρῳ] Sed non debebat Isocrates reticere Euagoram omni fere Cypro imperasse (Diod. Sic. XV, 2.), cuius urbes et consilio et vi sibi adiunxerat (id. XIV, 98.), et multas cum aliis societates contraxisse (id. XV, 2.).“ Morus. πόλεως ἐν G πόλεως τῶν ἐν Κύπρῳ ἐν V. „ἔκδοτος] Foe-

τός ἐστιν, οἰκῶν δὲ νῆσον κατὰ μὲν θάλατταν προδεδυστύχηκεν, ὑπὲρ δὲ τῆς χώρας τρισχιλίους ἔχει μόνον πελταστάς, ἀλλ' ὅμως οὕτω ταπεινῆς δυνάμεως οὐ δύναται περιγενέσθαι 70 βασιλεὺς πολεμῶν, ἀλλ' ἤδη μὲν ἓξ ἔτη διατέτριφεν, εἰ δὲ δεῖ τὰ μέλλοντα τοῖς γεγενημένοις τεκμαίρεσθαι, πολὺ πλείων ἐλπίς ἐστιν ἕτερον ἀποστῆναι πρὶν ἐκεῖνον ἐκπολιορκηθῆναι· τοιαῦται βραδυτῆτες ἐν ταῖς πράξεσι ταῖς βασιλέως ἔνεισιν. ἐν δὲ τῷ πολέμῳ τῷ περὶ Ῥόδον ἔχων μὲν τοὺς Λακεδαιμονίων συμμάχους εὔνους διὰ τὴν χαλεπότητα τῶν πολιτειῶν,

---

dere non comprehensus, sed Artaxerxi deditus erat. Nam pace Antalcidae Cyprus in Persarum potestatem venit. Xen. Hellen. V. 1, 28. Hinc Cypriorum nonnulli adversus vim Euagorae, late imperitantis, Artaxerxem in auxilium vocarunt." Morus. 14 θάλατταν G θάλασσαν V. „προδεδυστύχηκεν] Euagoram primo navali congressu victum esse narrat. Diod. Sic. XV, 3." Morus. 15 „Victus navali proelio, in ipsa insula obsessus est (Diod. Sic. XV, 4. 8.), et ὑπὲρ τῆς χώρας pugnare coactus." Morus. „τρισχιλίους] Diod. Sic. XV, 2. Euagoram, praeter socios, habuisse dicit militum sex millia. Nempe ab initio. Sed victum navali praelio, obsessumque Salamine, a sociis relictum esse narrat, XV, 8. Sic ergo fieri potuit ut eius copiae tandem ad trium millium paucitatem redigerentur." Morus. ἔχει G εἶχε V. 18 γεγενημένοις] προγεγενημένοις Clemens Alex. Str. VI. p. 625. qui haec initio orationis Andocideae de pace comparat. Indicavit Coraës. 19 „ἐλπίς] Isocratem spes fefellit: nam Euagoras hac ipsa obsidione tandem coërcitus est." Morus. 21 Ῥόδον] Vicinam Rhodo Κνίδον sufficit H. Wolfius auctoribus Xenophonte Hellen. IV. 3, 11. et aliis. Librorum scripturae plurimum fidei addit liber Urbinas, qui in oratione ad Philippum p. 79, 36. (94 e.). Ῥόδον praebuit pro vulgato Κνίδον. „Narratio de hoc bello, quod rex Persiae, duce Conone sociisque Euagora usus, contra Lacedaemonios gessit, occurrit in Euag. p. 200. Or. ad Phil. p. 94. Xen. Hellen. IV. 3, 6. Diod. Sic. XIV, 39. 79. 83. Iustin. VI. 2, 3. Cornel. Con. II. 3, 4. Meminit et Plutarch. in Artaxerxe p. 1022. ed. Francof. Quibus quidem locis quum constanter tradatur ad Cnidum a Conone bellum gestum esse, debui e coniectura Wolfii Κνίδον atque Κόνωνος recipere." Morus. 22 „διὰ τὴν χαλεπότητα] *Quia ferre non poterant formam civitatum a Lacedaemoniis institutam:* cf. ad c. 32. Diod. Sic. XIV, 82. διὰ τὸ βάρος τῆς ἐπιστάσεως,

χρώμενος δὲ ταῖς ὑπηρεσίαις ταῖς παρ᾽ ἡμῶν, στρατηγοῦντος δ᾽ αὐτῷ Κόνωνος, ὃς ἦν ἐπιμελέστατος μὲν τῶν στρατηγῶν, πιστότατος δὲ τοῖς Ἕλλησιν, ἐμπειρότατος δὲ τῶν πρὸς τὸν πόλεμον κινδύνων, τοιοῦτον λαβὼν συναγωνιστὴν τρία μὲν ἔτη περιεῖδε τὸ ναυτικὸν τὸ προκινδυνεῦον ὑπὲρ τῆς Ἀσίας ὑπὸ τριήρων ἑκατὸν μόνων πολιορκούμενον, πεντεκαίδεκα δὲ μηνῶν τοὺς στρατιώτας τὸν μισθὸν ἀπεστέρησεν ὥςτε τὸ μὲν ἐπ᾽ ἐκείνῳ πολλάκις ἂν διελύθησαν, διὰ δὲ τὸν ἐφεστῶτα κίνδυνον καὶ τὴν συμμαχίαν τὴν περὶ Κόρινθον συστᾶσαν μόλις ποτὲ ναυμαχοῦντες ἐνίκησαν. καὶ ταῦτ᾽ ἐστὶ τὰ βασιλικώτατα καὶ σεμνότατα τῶν ἐκείνῳ πεπραγμένων, καὶ περὶ ὧν οὐδέποτε παύονται λέγοντες οἱ βουλόμενοι τὰ τῶν
XL *βαρβάρων μεγάλα ποιεῖν. ὥςτ᾽ οὐδεὶς ἂν ἔχοι τοῦτ᾽ εἰπεῖν,*

---

plane eodem sensu. Xenoph. Mem. II. 2, 7. *ἡ χαλεπότης τῆς μητρός*, *mores matris, quos filius ferre nequit.* Liv. *gravis ordo senatorius*, i. e. plebi molestus. Cononem sequuti sunt Rhodii, desertis Lacedaemoniis. Diod. Sic. XIV, 79." Morus. 23 „Varia nostra Atheniensium opera usus est, nos commoda ei ministravimus. Scilicet cum Tithraustes, satrapa Persicus, vim Agesilai, tum in Asia bellum gerentis, timeret: pecunia sollicitavit Graecos, ut bello Spartanis inferendo Agesilaum redire cogerent. Effecta igitur societas est, cui et Athenienses se adiunxerunt. Sic Agesilao redire coacto inservierunt Athenienses Persis, et commodum iis ingens ministrarunt. Xenoph. Hellen. III. 5, 1. 9. it. 4, 2." Morus. 24 *Κόνωνος* nomen ex aliis Isocratis locis dudum restituerunt critici: *κοίνωνος* G *Κίμωνος* V. 27 *τὸ προκινδυνεῦον ὑπὲρ τῆς Ἀσίας* G *τὸ περὶ τὴν Ἀσίαν* V. 28 *μόνων* G *μόνον* V. 29 *δὲ* om. G. 31 *ἐφεστῶτα κίνδυνον καὶ τὴν συμμαχίαν*] *ἐφεστῶτα καὶ συμμαχίαν* pr. G. 32 „*συστᾶσαν*] Haec est ipsa illa contra Spartanos conflata societas, de qua modo dixi. Nam quoniam Corinthi exercitus collectus est (Diod. Sic. XIV, 83.), indidemque ad bellum profectus (Xen. Hell. IV. 4, 1.), et commune sociorum concilium ibi habitum (Diod. Sic. XIV, 82. *ἐν τῇ Κορίνθῳ κοινὸν συνέδριον κατεστήσαντο*), ipsum bellum dictum est Corinthiacum. Hinc Diod. Sic. XIV, 87. *Τῶν κατὰ τὸν πόλεμον (τοῦτον) δεινῶν σχεδόν τι περὶ τὴν Κόρινθον γενομένων, ὁ πόλεμος οὗτος ἐκλήθη Κορινθιακός.* Sic Isocr. Plataic. p. 301. Apud Xenoph. IV. 2, 8. *οἱ περὶ τοὺς Κορινθίους* opponuntur *τοῖς περὶ τοὺς Λακεδαιμονίους*." Morus. *ποτὲ* om. G.

ὡς οὐ δικαίως χρῶμαι τοῖς παραδείγμασιν, οὐδ' ὡς ἐπὶ μι-
κροῖς διατρίβω τὰς μεγίστας τῶν πράξεων παραλείπων· φεύ-
58 γων γὰρ ταύτην τὴν αἰτίαν τὰ κάλλιστα τῶν ἔργων διῆλθον,
οὐκ ἀμνημονῶν οὐδ' ἐκείνων, ὅτι Δερκυλίδας μὲν χιλίους
ἔχων ὁπλίτας τῆς Αἰολίδος ἐπῆρχε, Δράκων δ' Ἀταρνέα κατα-
λαβὼν καὶ τρισχιλίους πελταστὰς συλλέξας τὸ Μύσιον πεδίον
ἀνάστατον ἐποίησε, Θίβρων δ' ὀλίγῳ πλείους τούτων διαβι-
βάσας τὴν Λυδίαν ἅπασαν ἐπόρθησεν, Ἀγησίλαος δὲ τῷ Κυ-

---

36 δικαίως G δικαίοις V. 37 παραλείπων G παραλι-πὼν V.

P. 58, 2 Δερκυλίδας G Δερκυλλίδας V. „Dercyllidas, a Lacedaemoniis in Asiam harmosta missus, Thibroni successit, qui iniquius erga socios se gesserat. Xen. Hellen. III. 1, 6. sqq. Diod. Sic. XIV, 38. Iustin. VI. 1, 2. scribitur Hercyllides. Harpocratio, Dercyllidam regem Lacedaemoniorum appellans, abusus est regis nomine.“ Morus. 3 ἐπῆρχε G ἐπῆρξε V. „Dracon Atarneo, oppido Mysiae, e regione Lesbi sito et a Dercyllida occupato, praefectus est. Xenoph. Hell. III. 2, 9. Cf. Harpocratio in Δράκων et Ἀταρνεύς, et Hutchinson. Dissertat. ad Xenoph. de Expedit. Cyri p. 39. ed. Lips.“ Morus. 5 Θίβρων G Θίμβρων V. Philostephanus Athenaei VII. p. 293. A.

τῇ τ' ὀξύτητι μετὰ Θίβρωνα Δαίδαλε.

Scribitur Θίμβρωνα. Sopater ibid. VI. p. 230. E.

οἷαν ποτ' ἔσχε καὶ Θίβρων ὁ Ταντάλου.

„Alii Θίβρων, alii Θίμβρων, de qua varietate Wesseling. ad Diod. Sic. XIV, 36. disputavit. Res ita se habuit. Postquam Artaxerxes adiutores Cyri fratris ulcisci coeperat, Iones a Lacedaemoniis auxilium petierunt. Itaque Thibro harmosta missus est. Diod. Sic. l. c. Xen. Hellen. III. 1, 3. Occupatis tum aliquot oppidis (ibid.), redire Spartam iussus est: sed paullo ante pacem Antalcidae denuo in Asiam missus ἔφερε καὶ ἦγε τὴν βασιλέως. Xenoph. Hellen. IV. 8, 17. Diod. Sic. XIV, 99. Cf. Harpocratio in Θίμβρων.“ Morus. 6 ἅπασαν G πᾶσαν V. Legebatur Κύρου στρατεύματι, quod in multis libris scriptum Κύρου στρατοπέδῳ. Κύρειον στράτευμα ex hac oratione memorant Harpocratio, Photius (191, 14.) et alii. „Reliquiae Graecorum, qui Cyrum minorem in illa nobilissima expeditione adversus fratrem adiuverant, et victo Cyro se duce Xenophonte receperant, adiunxerunt se Agesilao, tum in Asia pugnanti adversus Persas. v. ad Xenoph. Hellen. III. 4, 20. Quum autem Agesilaus illo tempore multos alios

ρείῳ στρατεύματι χρώμενος μικροῦ δεῖν τῆς ἐντὸς Ἅλυος χώρας ἐκράτησεν. καὶ μὴν οὐδὲ τὴν στρατιὰν τὴν μετὰ βασιλέως περιπολοῦσαν, οὐδὲ τὴν Περσῶν ἀνδρίαν ἄξιον φοβηθῆναι· καὶ γὰρ ἐκεῖνοι φανερῶς ἐπεδείχθησαν ὑπὸ τῶν Κύρῳ συναναβάντων οὐδὲν βελτίους ὄντες τῶν ἐπὶ θαλάττῃ. τὰς μὲν γὰρ ἄλλας μάχας ὅσας ἡττήθησαν ἐῶ, καὶ τίθημι 71 *στασιάζειν αὐτοὺς καὶ μὴ βούλεσθαι προθύμως πρὸς τὸν ἀδελφὸν τὸν βασιλέως διακινδυνεύειν. ἀλλ᾽ ἐπειδὴ Κύρου τελευτήσαντος συνῆλθον ἅπαντες οἱ τὴν Ἀσίαν κατοικοῦντες, ἐν τούτοις τοῖς καιροῖς οὕτως αἰσχρῶς ἐπολέμησαν ὥστε μηδένα λόγον ὑπολιπεῖν τοῖς εἰθισμένοις τὴν Περσῶν ἀνδρίαν ἐπαινεῖν. λαβόντες γὰρ ἑξακισχιλίους τῶν Ἑλλήνων οὐκ ἀριστίνδην ἐπειλεγμένους, ἀλλ᾽ οἳ διὰ φαυλότητ᾽ ἐν ταῖς αὑτῶν*

Europaeos et Asiaticos habuerit in exercitu (Xen. Hellen. III. 4. 2. 3. Agesil. 1, 14. sqq): non video, cur Isocrates hoc loco eum tantummodo reliquias exercitus, qui Cyrum adiuverat, habuisse dicat, quasi non alios multos in exercitu habuisset. An simpliciter tempus hoc additamento notare voluit: *tunc, quum illas reliquias in exercitu suo habebat?* Agesilaus enim saepe pugnavit adversus Persas alio tempore.“ MORUS. 7 *χώρας* G *χώρας ἁπάσης* V. 8 *μὴν* add. G. *βασιλέως*] *τοῦ βασιλέως* G. 11 *θαλάττῃ* G *θαλάττης* V. „*οἱ ἐπὶ θαλάττης*, qui in Asia minore habitant, etiam non prope oras. Nam qui e Persia Asiam minorem adeunt, versus mare e mediterraneis proficiscuntur. Sic c. 41. *καταβαίνοντες ἐπὶ θάλατταν*, satrapae, qui e Persia in Asiae minoris provincias mittuntur. Infra, hoc ipso capite, *ἡ παραλία τῆς Ἀσίας*, de iisdem provinciis. C. 43, *αἱ πόλεις αἱ ἐπὶ θαλάττῃ*, urbes Asiae minoris. Xen. Hellen. I. 4, 1. et Diod. Sic. XIV, 12. *Κῦρος ἄρχων τῶν ἐπὶ θαλάττης σατραπῶν.* Idem XI, 2. provincias *πάσης τῆς παραθαλαττίου*, quae Xerxi paret, sic enarrat, ut Asia minor describatur. Hinc in Xen. Hell. III. 4, 27. *πόλεις ἐπιθαλαττίδιοι.* Caeterum de bello Cyri adversus fratrem Artaxerxem nota sunt omnia e Xenophonte de expeditione Cyri et Diod. Sic. XIV, 19. sqq.“ MORUS. 14 *τὸν* G *τοῦ* V.
17 *ὑπολιπεῖν* G *ὑπολείπειν* V. *Περσῶν* G *τῶν Περσῶν* V.
18 „*Quum iis hostes obtigissent sex millia Graecorum.* Secundum Xenophontem Anab. V. 3, 4. e decem millibus Graecorum, qui cum Cyro fuerant, reversi sunt octo millia et sexcenti. Rem denuo narravit Isocrates or. ad Phil. p. 110.“ MORUS.
19 *ἐπειλεγμένους* G *μὲν ἐπιλελεγμένους* V. *ταῖς αὑτῶν οὐχ* G *ταῖς*

οὐχ οἷοί τ' ἦσαν ζῆν, ἀπείρους μὲν τῆς χώρας ὄντας, ἐρήμους δὲ συμμάχων γεγενημένους, προδεδομένους δ' ὑπὸ τῶν συναναβάντων, ἀπεστερημένους δὲ τοῦ στρατηγοῦ μεθ' οὗ συνηκολούθησαν, τοσοῦτον αὐτῶν ἥττους ἦσαν ὥςθ' ὁ βασιλεὺς ἀπορήσας τοῖς παροῦσι πράγμασι καὶ καταφρονήσας τῆς περὶ αὑτὸν δυνάμεως τοὺς ἄρχοντας τοὺς τῶν ἐπικούρων ὑποσπόνδους συλλαβεῖν ἐτόλμησεν, ὡς εἰ τοῦτο παρανομήσειε συνταράξων τὸ στρατόπεδον, καὶ μᾶλλον εἵλετο περὶ τοὺς θεοὺς ἐξαμαρτεῖν ἢ πρὸς ἐκείνους ἐκ τοῦ φανεροῦ διαγωνίσασθαι. διαμαρτὼν δὲ τῆς ἐπιβουλῆς, καὶ τῶν στρατιωτῶν συμμεινάντων καὶ καλῶς ἐνεγκόντων τὴν συμφοράν, ἀπιοῦσιν αὐτοῖς Τισσαφέρνην καὶ τοὺς ἱππέας συνέπεμψεν, ὑφ' ὧν ἐκεῖνοι παρὰ πᾶσαν ἐπιβουλευόμενοι τὴν ὁδὸν ὁμοίως διεπορεύθησαν ὡςπερανεὶ προπεμπόμενοι, μάλιστα μὲν φοβούμενοι τὴν ἀοίκητον τῆς χώρας, μέγιστον δὲ τῶν ἀγαθῶν νομίζοντες εἰ τῶν πολεμίων ὡς πλείστοις ἐντύχοιεν. κεφάλαιον δὲ τῶν εἰρημένων· ἐκεῖνοι γὰρ οὐκ ἐπὶ λείαν ἐλθόντες οὐδὲ κώμην καταλαβόντες, ἀλλ' ἐπ' αὐτὸν τὸν βασιλέα στρα-
59 τεύσαντες, ἀσφαλέστερον κατέβησαν τῶν περὶ φιλίας ὡς αὐτὸν πρεσβευόντων. ὥςτε μοι δοκοῦσιν ἐν ἅπασι τοῖς τόποις σαφῶς ἐπιδεδεῖχθαι τὴν αὐτῶν μαλακίαν· καὶ γὰρ ἐν τῇ παραλίᾳ τῆς Ἀσίας πολλὰς μάχας ἥττηνται, καὶ διαβάντες εἰς τὴν Εὐρώπην δίκην ἔδοσαν· οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώ-

---

ἑαυτῶν πόλεσιν οὐχ V. Conf. 38, 30. ἐν ταῖς αὑτῶν ἀχρήστως ἔχειν. Panath. p. 236, 6. (267 d.) auctore G editum συγγιγνόμενοι τοῖς τε μὴ δυναμένοις ἐν ταῖς αὑτῶν ζῆν (πατρίσι add. V) καὶ τοῖς χεῖρον γεγονόσιν ὧν*) οἱ νόμοι προστάττουσιν. 21 προδεδομένους G προδιδομένους V. 23 αὐτῶν ἥττους G ἥττους αὐτῶν V. 25 ἐπικούρων G Ἑλλήνων V. 29 ἐπιβουλῆς] ἐπιβολῆς G. 30 ἐνεγκόντων G ἐνεγκάντων V. Aoristi primi activi non nisi indicativo modo utitur Isocrates, qui ceteros modos ab altero aoristo petere consuevit. 31 Τισσαφέρνην G Τισαφέρνην V. 36 ἐπὶ λείαν G. Libri ceteri ἐπὶ μέλειαν. ἐπὶ μὲν λείαν H. Wolfius. P. 59, 1 ὡς αὐτὸν G αὐτῶν V. αὐτοῦ H. Wolfius.

---

*) ὧν] Isocrates in Antidosi p. 300, 35. κάλλιον ὧν οἱ νόμοι προστάττουσι.

λονθ', οἱ δ' αἰσχρῶς ἐσώθησαν, καὶ τελευτῶντες ὑπ' αὐτοῖς τοῖς βασιλείοις καταγέλαστοι γεγόνασιν.

XLI Καὶ τούτων οὐδὲν ἀλόγως γέγονεν, ἀλλὰ πάντ' εἰκότως 72 ἀποβέβηκεν· οὐ γὰρ οἷόν τε τοὺς οὕτω τρεφομένους καὶ πολιτευομένους οὔτε τῆς ἄλλης ἀρετῆς μετέχειν οὔτ' ἐν ταῖς μάχαις τρόπαιον ἱστάναι τῶν πολεμίων. πῶς γὰρ ἐν τοῖς ἐκείνων ἐπιτηδεύμασιν ἐγγενέσθαι δύναιτ' ἂν ἢ στρατηγὸς δεινὸς ἢ στρατιώτης ἀγαθὸς ὧν τὸ μὲν πλεῖστόν ἐστιν ὄχλος ἄτακτος καὶ κινδύνων ἄπειρος, πρὸς μὲν τὸν πόλεμον ἐκλελυμένος, πρὸς δὲ τὴν δουλείαν ἄμεινον τῶν παρ' ἡμῖν οἰκετῶν πεπαιδευμένος, οἱ δ' ἐν ταῖς μεγίσταις δόξαις ὄντες αὐτῶν ὁμαλῶς μὲν οὐδὲ κοινῶς οὐδὲ πολιτικῶς οὐδεπώποτ' ἐβίωσαν, ἅπαντα δὲ τὸν χρόνον διάγουσιν εἰς μὲν τοὺς ὑβρίζοντες, τοῖς δὲ δουλεύοντες, ὡς ἂν ἄνθρωποι μάλιστα τὰς φύσεις διαφθαρεῖεν, καὶ τὰ μὲν σώματα διὰ τοὺς πλούτους τρυφῶντες, τὰς δὲ ψυχὰς διὰ τὰς μοναρχίας ταπεινὰς καὶ περιδεεῖς ἔχοντες, ἐξεταζόμενοι πρὸς αὐτοῖς τοῖς βασιλείοις καὶ προκαλινδούμενοι καὶ πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες, θνητὸν μὲν ἄνδρα προςκυνοῦντές καὶ δαίμονα προςαγορεύοντες, τῶν δὲ θεῶν μᾶλλον ἢ τῶν ἀνθρώπων ὀλιγωροῦντες. τοιγαροῦν οἱ καταβαίνοντες αὐτῶν ἐπὶ θάλατταν, οὓς καλοῦσι σατράπας, οὐ καταισχύνουσι τὴν ἐκεῖ παίδευσιν, ἀλλ' ἐν τοῖς ἤθεσι τοῖς αὐτοῖς διαμένουσι, πρὸς μὲν τοὺς φίλους ἀπίστως, πρὸς δὲ τοὺς ἐχθροὺς ἀνάνδρως ἔχοντες, καὶ τὰ μὲν ταπεινῶς, τὰ δ' ὑπερηφάνως ζῶντες, τῶν μὲν συμμάχων καταφρονοῦντες, τοὺς δὲ πολεμίους θεραπεύοντες. τὴν μέν γε μετ' Ἀγησιλάου στρατιὰν ὀκτὼ μῆνας ταῖς αὑτῶν δαπάναις διέ-

6 ὑπ' G ἐπ' V. 7 „Euag. p. 200. μικροῦ δεῖν Κῦρος ἔλαθε τὸν βασιλέα ἐπὶ τὸ βασίλειον ἐπιστάς. Xenoph. Anabas. II. 4, 4. ἡμεῖς (Graeci cum Cyro) ἐνικῶμεν τὴν βασιλέως δύναμιν ἐπὶ ταῖς θύραις αὐτοῦ.“ Morus. 9 οὐ G οὐδὲ V. 11 ἱστάναι G ἵστασθαι V. γὰρ G γὰρ ἂν V. 19 ὡς ἂν G ὡςανεὶ V. διαφθαρεῖεν G διεφθαρμένοι V. 22 πρὸς G δὲ πρὸς V. προκαλινδούμενοι G προκυλινδούμενοι V. Contra in Philippo p. 83, 11. (98 c.) G praebuit κυλινδουμένοις, quum vulgo καλινδουμένοις legeretur. καλινδουμένων p. 261, 5. (295 b.) 279, 29. (316 b.) 312, 36. (ubi prima syllaba corr. in G.) 25 ὀλιγωροῦντες G καταφρονοῦντες V. 27 ἐκεῖ G ἐκείνων V. 32 „Accepit Agesilaus

θρεψαν; τοὺς δ' ὑπὲρ αὐτῶν κινδυνεύοντας ἑτέρου τοσούτου χρόνου τὸν μισθὸν ἀπεστέρησαν· καὶ τοῖς μὲν Κισθήνην καταλαβοῦσιν ἑκατὸν τάλαντα διένειμαν, τοὺς δὲ μεθ' αὐτῶν εἰς Κύπρον στρατευσαμένους μᾶλλον ἢ τοὺς αἰχμαλώτους ὕβριζον. ὡς δ' ἁπλῶς εἰπεῖν καὶ μὴ καθ' ἓν ἕκαστον, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ, τίς ἢ τῶν πολεμησάντων αὐτοῖς οὐκ εὐδαιμονήσας ἀπῆλθεν, ἢ τῶν ὑπ' ἐκείνοις γενομένων οὐκ αἰκισθεὶς τὸν βίον ἐτελεύτησεν; οὐ Κόνωνα μὲν, ὃς ὑπὲρ τῆς 73
Ἀσίας στρατηγήσας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων κατέλυσεν, ἐπὶ θανάτῳ συλλαβεῖν ἐτόλμησαν, Θεμιστοκλέα δ', ὃς ὑπὲρ τῆς Ἑλλάδος αὐτοὺς κατεναυμάχησε, τῶν μεγίστων δωρεῶν ἠξίωσαν; καίτοι πῶς χρὴ τὴν τούτων φιλίαν ἀγαπᾶν οἳ τοὺς μὲν εὐεργέτας τιμωροῦνται, τοὺς δὲ κακῶς ποιοῦντας οὕτως

---

ea lege, ut recederet, a Tithrauste, satrapa Persico, triginta talenta. Xen. Hellen. III. 4, 25. Diod. Sic. XIV, 80. nihil nisi semestres inducias commemorat." MORUS. 33 *κινδυνεύοντας* G *κινδυνεύσαντας* V. „*ἑτέρου τοσούτου*] *Bis totidem mensium stipendio privaverunt.* C. 39. fin. de quindecim mensibus loquutus est. Ergo *alterum tantum temporis spatium* non *ἀκριβῶς* dixit." MORUS. 34 „*Κισθήνην*] Harpocratio de monte Thraciae cepit; Suidas item, apud quem *Κισσήνη* scribitur. Cf. Intt. ad Hesych. in *Κισσήνη*. Wolfius de urbe Aeolidis intelligit, quam Cellar. Geogr. T. II. p. 44. ad Mysiam retulit, et Stephanus de urbibus in *Πᾶσσα* itemque Plinius Hist. Nat. V, 32. commemoravit. Sed quam diu de re, quam Isocrates respicit, non constat, (mihi quidem non constat) tam diu de situ loci nihil definiri potest." MORUS. 35 *αὐτῶν* G *ἑαυτῶν* V. 36 „*στρατευσαμένους*] Iones. cf. ad c. 37. 37 *ἐν* add. G.

P. 60, 3 „*ὑπὲρ τῆς Ἀσίας*] Nomine regis Persiae. c. 39." MORUS. 4 *τὴν ἀρχὴν τὴν Λακεδαιμονίων* G *τὴν Λακεδαιμονίων ἀρχὴν* V. „Diod. Sic. XIV, 84. *Λακεδαιμόνιοι ἀπὸ τούτου τοῦ χρόνου τὴν κατὰ θάλατταν ἀρχὴν ἀπέβαλον.* Nam eo bello confecto, omnis Graecia Athenis paruit, Isocr. Areop. p. 141. liberataque est a dominatu Spartanorum, Iustin. VI, 4. Cornel. Con. c. 4." MORUS. 5 *θανάτῳ* G *θάνατον* V. „*συλλαβεῖν*] Xen. Hellen. IV. 8, 16. et Diod. Sic. XIV, 85. falso crimine captum tradunt, ut pax Antalcidae perficeretur. Paullo aliter Cornel. Con. c. 5." MORUS. *ὃς* a corr. habet G. 6 *τῶν* G *καὶ* V.

ἐπιφανῶς κολακεύουσιν; περὶ τίνας δ᾽ ἡμῶν οὐκ ἐξημαρτήκασιν; ποῖον δὲ χρόνον διαλελοίπασιν ἐπιβουλεύοντες τοῖς Ἕλλησιν; τί δ᾽ οὐκ ἐχθρὸν αὐτοῖς ἐστὶ τῶν παρ᾽ ἡμῖν, οἳ καὶ τὰ τῶν θεῶν ἕδη καὶ τοὺς νεὼς συλᾶν ἐν τῷ προτέρῳ πολέμῳ καὶ κατακάειν ἐτόλμησαν; διὸ καὶ τοὺς Ἴωνας ἄξιον ἐπαινεῖν, ὅτι τῶν ἐμπρησθέντων ἱερῶν ἐπηράσαντ᾽ εἴ τί τινες κινήσειαν ἢ πάλιν εἰς τἀρχαῖα καταστῆσαι βουληθεῖεν, οὐκ ἀποροῦντες πόθεν ἐπισκευάσωσιν, ἀλλ᾽ ἵν᾽ ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ᾖ τῆς τῶν βαρβάρων ἀσεβείας, καὶ μηδεὶς πιστεύῃ τοῖς τοιαῦτ᾽ εἰς τὰ τῶν θεῶν ἐξαμαρτεῖν τολμῶσιν,

---

9 *ἐξημαρτήκασιν* G *ἐξαμαρτάνουσιν* V. 10 *διαλελοίπασιν ἐπιβουλεύοντες* G *διαλελοίπασιν οὐκ ἐπιβουλεύοντες* V. 13 *κατακάειν* G *κατακαίειν* V. 14 *τι* praeeunte Valckenario ad Herodotum V, 102. recte addidit Coraës comparata ipsa iurisiurandi formula, quam Lycurgus servavit p. 158, 6. HSt. *τῶν ἱερῶν τῶν ἐμπρησθέντων καὶ καταβληθέντων ὑπὸ τῶν βαρβάρων οὐδὲν ἀνοικοδομήσω παντάπασιν, ἀλλ᾽ ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ἐάσω καταλείπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.* „Ante pugnam Plataeensem coniuratum esse a Graecis in hanc sententiam, et Diod. Sic. XI, 29. et Lycurg. in Leocr. c. 19. narravit: ille in Isthmo in ipso itinere factum dixit, hic ad Plataeas, itinere finito. Sed de Ionibus ne verbum quidem: tantum *Ἕλληνας* commemorant, quo nomine hic Europaeos Graecos indicari docet Herodotus IX, 28. sq. quo loco aciem Graecorum describit, etsi de iureiurando plane nihil retulit. Igitur vel audiendus est Wesselingius ad locum istum Diodori, qui Isocratem in hoc similem Theopompo, a quo tota res in dubitationem adducta est, arbiratur: aut *Ἴωνας* mutandum in *Ἕλληνας*. Quod si sequamur, c. 42. in. *καὶ περὶ τῶν πολιτῶν τῶν ἡμετέρων* erit, *nominatim et de civibus et maioribus Atheniensium.*“ Morus. 15 *κινήσειαν* G *οἰκοδομήσαιεν* V. *τἀρχαῖα* G *τὰ ἀρχαῖα* V. 16 *πόθεν* G *ὅθεν* vel *ὁπόθεν* V. „*ἐπισκευάσωσιν*] *Unde reaedificarent.* Xen. Hell. II. 1, 7. II. 2, 1. *ἐπισκευάζειν τὰς ναῦς*, *reficere naves.* Diod. Sic. XX, 84. Thucyd. I, 29. *ἐπισκευὴ τῶν νεῶν refectio classis.* v. schol. Demosth. de Cor. c. 35. et 97. *ἐπισκευὴ τῶν τειχῶν*, *refectio murorum*, quam Lycurg. c. 11. *κατασκευὴν* dixit: eodemque significatu Thuc. IV, 116. *ἀνασκευάζειν.* Caeterum *ὑπόμνημα τῆς τῶν βαρβάρων ἀσεβείας* ipsius formulae verba sunt.“ Morus. 18 *τὰ θεῶν* G *τὰ θεῶν ἕδη* V. Sic in Nicocle 21, 35. (28 c.) *εἰς τὰ τῶν θεῶν* (*ἕδη* add. V) *ἐξαμαρτάνοντας* ex libro Urbinate scribendum esse docui praefatione p. VI,

ἀλλὰ καὶ φυλάττωνται καὶ δεδίωσιν, ὁρῶντες αὐτοὺς οὐ μόνον τοῖς σώμασιν ἡμῶν, ἀλλὰ καὶ τοῖς ἀναθήμασι πολεμήσαντας.

LII "Ἔχω δὲ καὶ περὶ τῶν πολιτῶν τῶν ἡμετέρων τοιαῦτα διελθεῖν· καὶ γὰρ οὗτοι πρὸς μὲν τοὺς ἄλλους ὅσοις πεπολεμήκασιν ἅμα διαλλάττονται καὶ τῆς ἔχθρας τῆς γεγενημένης ἐπιλανθάνονται, τοῖς δ' ἠπειρώταις οὐδ' ὅταν εὖ πάσχωσι χάριν ἴσασιν· οὕτως ἀείμνηστον τὴν ὀργὴν πρὸς αὐτοὺς ἔχουσιν. καὶ πολλῶν μὲν οἱ πατέρες ἡμῶν μηδισμοῦ θάνατον κατέγνωσαν, ἐν δὲ τοῖς συλλόγοις ἔτι καὶ νῦν ἀρὰς ποιοῦνται, πρὶν ἄλλο τι χρηματίζειν, εἴ τις ἐπικηρυκεύεται Πέρσαις τῶν πολιτῶν· Εὐμολπίδαι δὲ καὶ Κήρυκες ἐν τῇ τελετῇ τῶν μυστηρίων διὰ τὸ τούτων μῖσος καὶ τοῖς ἄλλοις βαρβάροις εἴργεσθαι τῶν ἱερῶν, ὥσπερ τοῖς ἀνδροφόνοις, προαγορεύουσιν.

τολμῶσιν G τολμήσασιν V. 22 τοιαῦτα G πολλὰ τοιαῦτα V. 24 γεγενημένης G προγεγενημένης V. 26 τὴν ὀργὴν πρὸς αὐτοὺς G π. α. τ. ὀ. V. 29 εἴ — Πέρσαις] Bekker. Anecd. 153, 11. „εἴ τις ἐπικηρυκεύεται] *Si quis legatos de pace et amicitia mittendos censeat.* Eodem sensu apud Thucyd. IV, 27. Plene dixit Dion. Hal. A. p. 616. ἐπικηρυκεύειν περὶ διαλλαγῶν καὶ φιλίας, quo fere modo Harpocratio ἐπικηρυκείαν dixit esse, τὸ περὶ διαλλαγῶν καὶ φιλίας κήρυκας πέμπειν. Ad Isocratis locum refero Hesychianum: Ἐπικηρυκεύεται, προσκηρύσσεται, h. e. *per praeconem nunciat*: ut Thucyd. IV, 118. προσκηρυκεύεσθαι dixit." Morus. 30 „Hesychius: Εὐμολπίδαι· οὕτως οἱ ἀπὸ τοῦ Εὐμόλπου (v. Paneg. c. 19.) ἐκαλοῦντο, τοῦ πρώτου ἱεροφαντήσαντος, h. e. qui Athenienses primus docuit Eleusiniae Cereris sacra. v. Intt. Hesych. a quibus Suidas et Meursius in Eleus. nominati sunt." Morus. „Κήρυκες] Plura fuerunt Athenis genera Κηρύκων, diversorum occupatione, et tempore ac loco, quo fungebantur praeconum munere. v. Pollux VIII, 103. Hoc loco intelliguntur ii, de quibus ita scripsit Harpocratio: Κήρυκες· Ἰσοκράτης Πανηγυρικῷ· γένος ἐστὶν (fuit familia sacra, in Eleusiniis mysteriis praeconum munere fungens, plane ut Eumolpidae, quae et ipsa est familia sacra, certae occupationi destinata. v. Sigon. de rep. Athen. p. 46. Potter. archaeol. gr. II, 3. p. 228.) ἐν Ἀθήναις, οὕτως ὀνομαζόμενον ἀπὸ τοῦ Κήρυκος τοῦ Ἑρμοῦ. Adde Hesych. et Polluc. IV, 12. inprimis VIII, 103. ubi unum genus τῶν κηρύκων dicitur μυστικόν. Hinc Xen. Hellen. II. 4, 13. τῶν Μυστῶν κήρυξ

οὕτω δὲ φύσει πολεμικῶς πρὸς αὐτοὺς ἔχομεν, ὥστε καὶ τῶν
μύθων ἥδιστα συνδιατρίβομεν τοῖς Τρωικοῖς καὶ Περσικοῖς,
δι' ὧν ἔστι πυνθάνεσθαι τὰς ἐκείνων συμφοράς. εὕροι δ' ἂν 74
τις ἐκ μὲν τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους ὕμνους πε-
ποιημένους, ἐκ δὲ τοῦ πρὸς τοὺς Ἕλληνας θρήνους ἡμῖν γε-
61 γενημένους, καὶ τοὺς μὲν ἐν ταῖς ἑορταῖς ᾀδομένους, τῶν
δ' ἐπὶ ταῖς συμφοραῖς ἡμᾶς μεμνημένους. οἶμαι δὲ καὶ τὴν
Ὁμήρου ποίησιν μείζω λαβεῖν δόξαν, ὅτι καλῶς τοὺς πολε-
μήσαντας τοῖς βαρβάροις ἐνεκωμίασε, καὶ διὰ τοῦτο βουλη-
θῆναι τοὺς προγόνους ἡμῶν ἔντιμον αὐτοῦ ποιῆσαι τὴν
τέχνην ἔν τε τοῖς τῆς μουσικῆς ἄθλοις καὶ τῇ παιδεύσει τῶν
νεωτέρων, ἵνα πολλάκις ἀκούοντες τῶν ἐπῶν ἐκμανθάνωμεν
τὴν ἔχθραν τὴν ὑπάρχουσαν πρὸς αὐτούς, καὶ ζηλοῦντες
τὰς ἀρετὰς τῶν στρατευσαμένων ἐπὶ Τροίαν τῶν αὐτῶν ἔρ-
XLIII γων ἐκείνοις ἐπιθυμῶμεν. ὥστε μοι δοκεῖ πολλὰ λίαν εἶναι
τὰ παρακελευόμενα πολεμεῖν αὐτοῖς, μάλιστα δ' ὁ παρὼν
καιρός, ὃν οὐκ ἀφετέον· καὶ γὰρ αἰσχρὸν παρόντι μὲν μὴ
χρῆσθαι, παρελθόντος δ' αὐτοῦ μεμνῆσθαι. τί γὰρ ἂν καὶ
βουληθεῖμεν ἡμῖν προσγενέσθαι, μέλλοντες βασιλεῖ πολεμεῖν,

---

ubi in ind. monui. Solent autem *Εὐμολπίδαι* et *Κήρυκες* saepe iungi, ubi de mysteriis sermo est: Thuc. VIII, 53. Aesch. c. Ctesiph. p. 406. ed. Reisk. Diod. Sic. I, 29. Aeliani fragm. in *Εὐμολπίδαι*: et voluerunt iungere nonnulli in Cornel. Alcib. c. 4. In quo sequi possumus Diodor. Siculum, Eumolpidas cum Aegyptiorum sacerdotum dignitate comparantem, *Κήρυκας* cum Aegyptiis pastophoris, inferioris quippe dignitatis." Morus. τελετῇ] τελευτῇ G. 37 τοὺς add. G.

P. 61, 1 „ἐν ταῖς ἑορταῖς] Quod factum est a rhapsodis: neque enim nisi particulas Homerici carminis, velut hymnos in laudem heroum, intelligere videtur, non factos peculiares hymnos." Morus. τῶν] τοὺς G. 2 „ἐπὶ ταῖς συμφοραῖς] Bella Graecorum intestina sunt materia lugubris orationis, si quis ἐπὶ ταῖς συμφοραῖς, de magno luctu, aut in publico luctu dicat. Etiam fabularum scenicarum argumentum sic versari solebat in luctu, ut huiusmodi res describerentur, Panath. p. 258. Dem. de Cor. c. 21." Morus. 8 ὑπάρχουσαν πρὸς αὐτοὺς G πρ. α. ὑ. V. 9 ἐπὶ Τροίαν om. G. 12 „*Quae post* ὃν οὐκ ἀφετέον *vulg. ponunt*, οὐ σαφέστερον οὐδὲν *a pr. G omissa ante illa* ὃν οὐκ ἀφετέον *ponit rec. marg. G.*" Bekker. 14 βουληθεῖμεν G.

ἔξω τῶν νῦν ὑπαρχόντων; οὐκ Αἴγυπτος μὲν αὐτοῦ καὶ Κύπρος ἀφέστηκε, Φοινίκη δὲ καὶ Συρία διὰ τὸν πόλεμον ἀνάστατοι γεγόνασι, Τύρος δ', ἐφ' ᾗ μέγ' ἐφρόνησεν, ὑπὸ τῶν ἐχθρῶν τῶν ἐκείνου κατείληπται; τῶν δ' ἐν Κιλικίᾳ πόλεων τὰς μὲν πλείστας οἱ μεθ' ἡμῶν ὄντες ἔχουσι, τὰς δ' οὐ χαλεπόν ἐστι κτήσασθαι. Λυκίας δ' οὐδ' εἷς πώποτε Περσῶν ἐκράτησεν. Ἑκατόμνως δ' ὁ Καρίας ἐπίσταθμος τῇ μὲν ἀληθείᾳ πολὺν ἤδη χρόνον ἀφέστηκεν, ὁμολογήσει δ' ὅταν ἡμεῖς βουληθῶμεν. ἀπὸ δὲ Κνίδου μέχρι Σινώπης Ἕλληνες τὴν Ἀσίαν παροικοῦσιν, οὓς οὐ δεῖ πείθειν, ἀλλὰ μὴ κωλύειν πολεμεῖν. καίτοι τοιούτων ὁρμητηρίων ὑπαρξάντων, καὶ τοσούτου πολέμου τὴν Ἀσίαν περιστάντος, τί δεῖ τὰ συμβησόμενα λίαν ἀκριβῶς ἐξετάζειν; ὅπου γὰρ μικρῶν μερῶν ἥττους εἰσίν, οὐκ ἄδηλον ὡς ἂν διατεθεῖεν, εἰ πᾶσιν ἡμῖν πολεμεῖν ἀναγκασθεῖεν. ἔχει δ' οὕτως· ἐὰν μὲν ὁ βάρβαρος ἐρρωμενεστέρως κατάσχῃ τὰς πόλεις τὰς ἐπὶ θαλάττῃ, φρουρὰς μείζους ἐν αὐταῖς ἢ νῦν ἐγκαταστήσας, τάχ' ἂν καὶ τῶν νήσων 75
αἱ περὶ τὴν ἤπειρον, οἷον Ῥόδος καὶ Σάμος καὶ Χίος ἐπὶ τὰς ἐκείνου τύχας ἀποκλίναιεν· ἢν δ' ἡμεῖς αὐτὰς πρότεροι καταλάβωμεν, εἰκὸς τοὺς τὴν Λυδίαν καὶ Φρυγίαν καὶ τὴν ἄλλην τὴν ὑπερκειμένην χώραν οἰκοῦντας ἐπὶ τοῖς ἐντεῦθεν ὁρμωμένοις εἶναι. διὸ δεῖ σπεύδειν καὶ μηδεμίαν ποιεῖσθαι διατριβήν, ἵνα μὴ πάθωμεν ὅπερ οἱ πατέρες ἡμῶν.
62 ἐκεῖνοι γὰρ ὑστερίσαντες τῶν βαρβάρων καὶ προέμενοί τινας

βουληθείημεν V. Contracta optativi forma Isocrati ex libro Urbinate toties est reddita, ut vix quinque alterius formae exempla restent. 16 „Diod. Sic. XV, 2. de Euagora: Ἐκυρίευε κατὰ τὴν Φοινίκην Τύρου καὶ τινῶν ἑτέρων, ubi Wesselingius hunc Isocratis locum comparavit. De Syria nihil habeo." Morus.

18 τῶν post ἐχθρῶν om. G. 21 Ἑκατόμνως G. Ἑκάτομνος V. Ἑκατόμνος Harpocratio in ἐπίσταθμος. 25 καίτοι G καὶ V. „ὁρμητήριον, locus, unde proficiscimur, erumpimus in hostem. Illustravit verbi usum Wesseling. ad Diod. Sic. XIV, 47. et monuit, talem locum arcem ac sedem belli latine dici, usus auctoritate Casaub. ad Polyb. I, 17." Morus. 27 ἐξετάζειν G προαγορεύειν V. 28 οὐκ ἄδηλον ὡς G πῶς V. 32 αἱ G αἵ εἰσι V.

P. 62, 1 ὑστερίσαντες G ὑστερήσαντες V. In Nicocle p. 23, 28. (30 d.) ubi legebatur ὑστεροῦσι τῶν πραγμάτων, G praebuit ὑστε-

τῶν συμμάχων ἠναγκάσθησαν ὀλίγοι πρὸς πολλοὺς κινδυνεῦσαι, ἐξὸν αὐτοῖς προτέροις διαβᾶσιν εἰς τὴν ἤπειρον μετὰ πάσης τῆς τῶν Ἑλλήνων δυνάμεως ἐν μέρει τῶν ἐθνῶν ἕκαστον χειροῦσθαι. δέδεικται γάρ, ὅταν τις πολεμῇ πρὸς ἀνθρώπους ἐκ πολλῶν τόπων συλλεγομένους, ὅτι δεῖ μὴ περιμένειν ἕως ἂν ἐπιστῶσιν, ἀλλ' ἔτι διεσπαρμένοις αὐτοῖς ἐπιχειρεῖν. ἐκεῖνοι μὲν οὖν προεξαμαρτόντες ἅπαντα ταῦτ' ἐπηνωρθώσαντο, καταστάντες εἰς τοὺς μεγίστους ἀγῶνας· ἡμεῖς δ' ἂν σωφρονῶμεν, ἐξ ἀρχῆς φυλαξόμεθα, καὶ πειρασόμεθα φθῆναι περὶ τὴν Λυδίαν καὶ τὴν Ἰωνίαν στρατόπεδον ἐγκαταστήσαντες, εἰδότες ὅτι καὶ βασιλεὺς οὐχ ἑκόντων ἄρχει τῶν ἠπειρωτῶν, ἀλλὰ μείζω δύναμιν περὶ αὐτὸν ἑκάστων αὐτῶν ποιησάμενος· ἧς ἡμεῖς ὅταν κρείττω διαβιβάσωμεν, ὃ βουληθέντες ῥᾳδίως ἂν ποιήσαιμεν, ἀσφαλῶς ἅπασαν τὴν Ἀσίαν καρπωσόμεθα. πολὺ δὲ κάλλιον ἐκείνῳ περὶ τῆς βασιλείας πολεμεῖν ἢ πρὸς ἡμᾶς αὐτοὺς περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν.

XLIV Ἄξιον δ' ἐπὶ τῆς νῦν ἡλικίας ποιήσασθαι τὴν στρατείαν, ἵν' οἱ τῶν συμφορῶν κοινωνήσαντες, οὗτοι καὶ τῶν ἀγαθῶν ἀπολαύσωσι καὶ μὴ πάντα τὸν χρόνον δυστυχοῦντες διαγάγωσιν. ἱκανὸς γὰρ ὁ παρεληλυθώς, ἐν ᾧ τί τῶν δεινῶν οὐ γέγονεν; πολλῶν γὰρ κακῶν τῇ φύσει τῇ τῶν ἀνθρώπων

ρίζουσι. In ὑστερίζω consentiunt libri in Euagora p. 177, 24. (204 a.). „Qui Herodotum IV, 89 — 104. et V, 4 — 94. legerit, reperiet, primum τινὰς τῶν συμμάχων proditos et Ionas esse, et quotquot in Graecia a Persis ante pugnam Marathoniam subacti sint (IV, 103. V, 49. 100.), deinde, quae hic dicantur de maiorum negligentia, ad Darii Hystaspis tempora pertinere, non, ut Wolfio placuit, ad Xerxis tantum aetatem. Omnino enim, si Persas praevertere voluerunt, ante debuerunt Persiam petere quam Persae primum omnium Europam: hoc autem a Dario factum est.“ Morus. προέμενοι] προςέμενοι G. 5 χειροῦσθαι G χειρώσασθαι V. 6 τόπων συλλ. G, συλλ. τόπων V. 7 ἐπιστῶσιν G ἀθροισθῶσιν V. 8 οὖν om. G. προεξ.] προςεξ. G. 11 καὶ τὴν G καὶ περὶ τὴν V. 14 ὅταν G ὁπόταν V. 20 ἵν' — ἀπολαύσωσι] Bekkeri Anecd. 123, 6. οἱ τῶν] οἱ τῶν νῦν G. 22 παρεληλυθὼς G παρεληλυθὼς χρόνος V.

ὑπαρχόντων αὐτοὶ πλείω τῶν ἀναγκαίων προσεξευρήκαμεν, πολέμους καὶ στάσεις ἡμῖν αὐτοῖς ἐμποιήσαντες, ὥστε τοὺς μὲν ἐν ταῖς αὑτῶν ἀνόμως ἀπόλλυσθαι, τοὺς δ' ἐπὶ ξένης 76 μετὰ παίδων καὶ γυναικῶν ἀλᾶσθαι, πολλοὺς δὲ δι' ἔνδειαν τῶν καθ' ἡμέραν ἐπικουρεῖν ἀναγκαζομένους ὑπὲρ τῶν ἐχθρῶν τοῖς φίλοις μαχομένους ἀποθνῄσκειν. ὑπὲρ ὧν οὐδεὶς πώποτ' ἠγανάκτησεν, ἀλλ' ἐπὶ μὲν ταῖς συμφοραῖς ταῖς ὑπὸ τῶν ποιητῶν συγκειμέναις δακρύειν ἀξιοῦσιν, ἀληθινὰ δὲ πάθη πολλὰ καὶ δεινὰ γιγνόμενα διὰ τὸν πόλεμον ἐφορῶντες τοσούτου δέουσιν ἐλεεῖν ὥστε καὶ μᾶλλον χαίρουσιν ἐπὶ τοῖς ἀλλήλων κακοῖς ἢ τοῖς αὑτῶν ἰδίοις ἀγαθοῖς. ἴσως δ' ἂν καὶ τῆς ἐμῆς εὐηθείας πολλοὶ καταγελάσειαν, εἰ δυστυχίας ἀνδρῶν ὀδυροίμην ἐν τοῖς τοιούτοις καιροῖς ἐν οἷς Ἰταλία μὲν ἀνάστατος γέγονε, Σικελία δὲ καταδεδούλωται, το-
63 σαῦται δὲ πόλεις τοῖς βαρβάροις ἐκδέδονται, τὰ δὲ λοιπὰ μέρη τῶν Ἑλλήνων ἐν τοῖς μεγίστοις κινδύνοις ἐστίν.

XLV Θαυμάζω δὲ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν, εἰ προσήκειν αὐτοῖς ἡγοῦνται μέγα φρονεῖν, μηδὲν πώποθ' ὑπὲρ τηλικούτων πραγμάτων μήτ' εἰπεῖν μήτ' ἐνθυμηθῆναι δυνηθέντες. ἐχρῆν γὰρ αὐτούς, εἴπερ ἦσαν ἄξιοι τῆς παρούσης δόξης, ἁπάντων ἀφεμένους τῶν ἄλλων περὶ τοῦ πολέμου τοῦ πρὸς βαρβάρους εἰσηγεῖσθαι καὶ συμβουλεύειν. τυχὸν μὲν γὰρ ἄν τι συνεπέραναν· εἰ δὲ καὶ προαπεῖπον, ἀλλ' οὖν τούς γε λόγους ὥσπερ χρησμοὺς εἰς τὸν ἐπιόντα χρόνον ἂν κατέλιπον. νῦν δ' οἱ μὲν ἐν ταῖς μεγίσταις δόξαις ὄντες ἐπὶ

---

24 πλείω G πλεῖον V. 30 μὲν add. G. 34 αὑτῶν ἰδίοις G ἰδίοις αὐτῶν V. 36 δυστυχίας ἀ. ὀδυρ. ἐν τοῖς τοιούτοις κ. G δυστυχίαν ἀ. ἐν τοιούτοις κ. ὀδυρ. V. „De Pace p. 179. Λακεδαιμόνιοι (accepto principatu) τὰς ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ πολιτείας ἀνῄρουν, καὶ τυραννίδας καθίστασαν. Hinc interpretor ἀνάστατον γίγνεσθαι καὶ καταδουλοῦσθαι. Nimirum Dionysius, Siciliae tyrannus, fractis in Sicilia opibus Atheniensium, quidquid Graecorum ibi et in Italia (Diod. Sic. XIV, 90. 91. Thuc. VI. init.) fuit, fuit autem magna multitudo, iuvantibus inprimis Spartanis (cf. ad p. 35.), sibi subiicere conatus est. Iustin. XX, 1. Aristid. Panath. p. 80." Morus.
P. 63, 9 συνεπέραναν G διεπέραναν V. 11 ἂν add. G.

μικρῶν σπουδάζουσιν, ἡμῖν δὲ τοῖς τῶν πολιτικῶν ἐξεστηκόσι περὶ τηλικούτων πραγμάτων συμβουλεύειν παραλελοίπασιν.

Οὐ μὴν ἀλλ' ὅσῳ μικροψυχότεροι τυγχάνουσιν ὄντες οἱ προεστῶτες ἡμῶν, τοσούτῳ τοὺς ἄλλους ἐρρωμενεστέρως δεῖ σκοπεῖν ὅπως ἀπαλλαγησόμεθα τῆς παρούσης ἔχθρας. νῦν μὲν γὰρ μάτην ποιούμεθα τὰς περὶ τῆς εἰρήνης συνθήκας· οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους, ἀλλ' ἀναβαλλόμεθα, καὶ περιμένομεν τοὺς καιροὺς ἐν οἷς ἀνήκεστόν τι κακὸν ἀλλή- XLVI λους ἐργάσασθαι δυνησόμεθα. δεῖ δὲ ταύτας τὰς ἐπιβουλὰς ἐκποδὼν ποιησαμένους ἐκείνοις τοῖς ἔργοις ἐπιχειρεῖν ἐξ ὧν τάς τε πόλεις ἀσφαλέστερον οἰκήσομεν καὶ πιστότερον διακεισόμεθα πρὸς ἡμᾶς αὐτούς. ἔστι δ' ἁπλοῦς καὶ ῥᾴδιος ὁ λόγος ὁ περὶ τούτων· οὔτε γὰρ εἰρήνην οἷόν τε βεβαίαν ἀγαγεῖν, 77 ἢν μὴ κοινῇ τοῖς βαρβάροις πολεμήσωμεν, οὔθ' ὁμονοῆσαι τοὺς Ἕλληνας, πρὶν ἂν καὶ τὰς ὠφελίας ἐκ τῶν αὐτῶν καὶ τοὺς κινδύνους πρὸς τοὺς αὐτοὺς ποιησώμεθα. τούτων δὲ γενομένων, καὶ τῆς ἀπορίας τῆς περὶ τὸν βίον ἡμῶν ἀφαιρεθείσης, ἣ καὶ τὰς ἑταιρίας διαλύει καὶ τὰς συγγενείας εἰς ἔχθραν προάγει καὶ πάντας ἀνθρώπους εἰς πολέμους καὶ στάσεις καθίστησιν, οὐκ ἔστιν ὅπως οὐχ ὁμονοήσομεν καὶ τὰς εὐνοίας ἀληθινὰς πρὸς ἡμᾶς αὐτοὺς ἕξομεν. ὧν ἕνεκα περὶ παντὸς ποιητέον ὅπως ὡς τάχιστα τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διορίσομεν, ὡς μόνον ἂν τοῦτ' ἀγαθὸν ἀπολαύσαιμεν τῶν κινδύνων τῶν πρὸς ἡμᾶς αὐτούς, εἰ ταῖς ἐμπειρίαις ταῖς ἐκ τούτων γεγενημέναις πρὸς τὸν βάρβαρον καταχρήσασθαι δόξειεν ἡμῖν.

64 Ἀλλὰ γὰρ ἴσως διὰ τὰς συνθήκας ἄξιον ἐπισχεῖν, ἀλλ' οὐκ XLVII ἐπειχθῆναι καὶ θᾶττον ποιήσασθαι τὴν στρατείαν, δι' ἃς αἱ μὲν ἠλευθερωμέναι τῶν πόλεων βασιλεῖ χάριν ἴσασιν, ὡς δι' ἐκεῖνον τυχοῦσαι τῆς αὐτονομίας ταύτης, αἱ δ' ἐκδεδομέναι

---

13 παραλελοίπασιν G καταλελοίπασιν V. 14. 15. οὐ μὴν — ὑμῶν] Bekkeri Anecd. 168, 31. 15 τοσούτῳ G τόσουτον V. 17 Aristotel. Rhet. III. 10, 7. 21 ἐκποδὼν] ἐκπολλῶν pr. G. 24 οἷόν τε G οἷόν τέ ἐστι V. 26 ὠφελίας G φιλίας V. 28 γενομένων G γεγονότων V. 31 οὐκ ἔστιν om. pr. G. 34 ἂν G δ' ἂν vel γ' ἂν V. 35 τῶν κινδ. G ἐκ τῶν κινδ. V.

τοὺς βαρβάρους μάλιστα μὲν Λακεδαιμονίοις ἐπικαλοῦσιν, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις τοῖς μετασχοῦσι τῆς εἰρήνης, ὡς ὑπὸ τούτων δουλεύειν ἠναγκασμένοι. καίτοι πῶς οὐ χρὴ διαλύειν ταύτας τὰς ὁμολογίας, ἐξ ὧν τοιαύτη δόξα γέγονεν, ὥσθ' ὁ μὲν βάρβαρος κήδεται τῆς Ἑλλάδος καὶ φύλαξ τῆς εἰρήνης ἐστίν, ἡμῶν δέ τινές εἰσιν οἱ λυμαινόμενοι καὶ κακῶς ποιοῦντες αὐτήν; ὃ δὲ πάντων καταγελαστότατον, ὅτι τῶν γεγραμμένων ἐν ταῖς ὁμολογίαις τὰ χείριστα τυγχάνομεν διαφυλάττοντες. ἃ μὲν γὰρ αὐτονόμους ἀφίησι τάς τε νήσους καὶ τὰς πόλεις τὰς ἐπὶ τῆς Εὐρώπης, πάλαι λέλυται καὶ μάτην ἐν ταῖς στήλαις ἐστίν· ἃ δ' αἰσχύνην ἡμῖν φέρει καὶ πολλοὺς τῶν συμμάχων ἐκδέδωκε, ταῦτα δὲ κατὰ χώραν μένει καὶ πάντες αὐτὰ κύρια ποιοῦμεν, ἃ χρῆν ἀναιρεῖν καὶ μηδεμίαν ἐᾶν ἡμέραν, νομίζοντας προστάγματα καὶ μὴ συνθήκας εἶναι. τίς γὰρ οὐκ οἶδεν ὅτι συνθῆκαι μέν εἰσιν αἵτινες ἂν ἴσως καὶ κοινῶς ἀμφοτέροις ἔχωσι, προστάγματα 78 δὲ τὰ τοὺς ἑτέρους ἐλαττοῦντα παρὰ τὸ δίκαιον; διὸ καὶ τῶν πρεσβευσάντων ταύτην τὴν εἰρήνην δικαίως ἂν κατηγοροῖμεν, ὅτι πεμφθέντες ὑπὸ τῶν Ἑλλήνων ὑπὲρ τῶν βαρβάρων ἐποιήσαντο τὰς συνθήκας. ἐχρῆν γὰρ αὐτούς, εἴτ' ἐδόκει τὴν αὑτῶν ἔχειν ἑκάστους, εἴτε καὶ τῶν δοριαλώτων ἐπάρχειν, εἴτε τούτων κρατεῖν ὧν ὑπὸ τὴν εἰρήνην ἐτυγχάνομεν ἔχοντες, ἕν τι τούτων ὁρισαμένους καὶ κοινὸν τὸ δίκαιον ποιησαμένους, οὕτω συγγράφεσθαι περὶ αὐτῶν. νῦν δὲ τῇ μὲν ἡμετέρᾳ πόλει καὶ τῇ Λακεδαιμονίων οὐδεμίαν τιμὴν ἀπένειμαν, τὸν δὲ βάρβαρον ἁπάσης τῆς Ἀσίας δεσπότην κατέστησαν, ὡς ὑπὲρ ἐκείνου πολεμησάντων ἡμῶν, ἢ τῆς μὲν Περσῶν ἀρχῆς πάλαι καθεστηκυίας, ἡμῶν δ' ἄρτι τὰς πόλεις

P. 64, 5 ἐπικαλοῦσιν G ἐγκαλοῦσιν V. 6 μετασχοῦσι G μετέχουσι V. „Videtur intelligere Athenienses. Vid. c. 33. Est autem foedus, de quo Isocrates toto hoc capite loquitur, pax Antalcidae.“ Morus. 7 ὑπὸ G ὑπὲρ V. ἠναγκασμέναι] ἠναγκασμένοι G. 9 „Sed ipsa re quid fecerit Artaxerxes, disci potest e c. 34.“ Morus. 10 λυμαινόμενοι καὶ] λυμαιν οἱ G. 15 ἡμῖν φέρει G φέρει ἡμῖν V. 17 πάντες G πάντ' V. χρῆν G χρὴ V. 20 ἀμφοτέροις G ἐν ἀμφοτέροις V. 21 ἑτέρους] ἑταίρους G. 25 αὐτῶν G ἑαυτῶν V. 26 εἴτε G εἶτε

κατοικούντων, ἀλλ' οὐκ ἐκείνων μὲν νεωστὶ ταύτην τὴν τιμὴν ἐχόντων, ἡμῶν δὲ τὸν ἅπαντα χρόνον ἐν τοῖς Ἕλλησι
XLVIII δυναστευόντων. οἶμαι δ' ἐκείνως εἰπὼν μᾶλλον δηλώσειν τήν τε περὶ ἡμᾶς ἀτιμίαν γεγενημένην καὶ τὴν τοῦ βασιλέως πλεονεξίαν. τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης δίχα
65 τετμημένης, καὶ τῆς μὲν Ἀσίας, τῆς δ' Εὐρώπης καλουμένης, τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν, ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος, ἀλλ' οὐ πρὸς ἀνθρώπους τὰς συνθήκας ποιούμενος. καὶ ταύτας ἡμᾶς ἠνάγκασεν ἐν στήλαις λιθίναις ἀναγράψαντας ἐν τοῖς κοινοῖς τῶν ἱερῶν ἀναθεῖ-

---

καὶ V. 33 ταύτην add. G. 36 τοῦ βασιλέως] Articulum probabiliter delet Bekkerus hic et in Panathen. p. 235, 21. (267 a.). 37 „Κόσμος est coeli ambitus, cum sideribus, ut Ammian. Marcell. XII, 42. consideratio mundani motus et siderum. v. Ernesti ad Xen. Mem. I. 1, 11.“ Morus. Attulit hunc locum Philostratus vit. Soph. I, 17. p. 504. „δίχα τετμημένης] Constat Africam ab antiquis vel Asiae annumeratam esse, vel Europae: unde hic duae partes terrae. V. Agathemerus de geograph. 2, 2. apud Hudson. in Geogr. minoribus. vol. II. Ciaccon. ad Pompon. Melam 1, 1. Cort. ad Sallust. Iug. c. 17. Cellar. Geogr. T. I. l. 1. c. 11.“ Morus.

P. 65, 2 „*Quasi* frater Iovis *terram inter se et Iovem divisisset.* Tralatitium est, omnem mundum inter Iovem, Neptunum et Plutonem divisum esse. Quae quidem quum divisio totius in partes permagnas fuerit, habet aliquid simile huic divisioni quae totam terram in duas partes magnas distribuit.“ Morus. Scholiastes ad Aristidem Iebbii vol. I. p. 127, 16. ex Isocrate attulit ὥσπερ (sic Meermann. A. et Monac. A.: καθάπερ Monac. B. et Photius Biblioth. p. 402 b, 27. Bekk.) πρὸς τὸν Δία τὰ ὄντα διανεμόμενος (διανειμάμενος Photius), τῷ μὲν τοῦ Ὀλύμπου παραχωρῶν, ἑαυτῷ δὲ τὴν γῆν ἔχειν. (ἔχειν om. Monac. B. et Photius.) 3 ἀνθρώπους G τοὺς ἀνθρώπους V. 4 ἡμᾶς ἠνάγκασεν G συνηνάγκασεν ἡμᾶς V. 5 „ἐν τοῖς κοινοῖς τῶν ἱερῶν] Equidem sic ceperim, ut Thucyd. V, 18. ἱερὰ κοινὰ de Delphico templo, ut Xen. Mem. I. 1, 2. κοινοὺς τῆς πόλεως βωμούς, ut Isocr. Paneg. c. 12. κοινὰς θυσίας a communione sacrorum dixit, et verterim: *communia toti Graeciae templa*, quale fuit Delphicum et Iovis Olympii, quoniam foedus Antalcidae totius Graeciae nomine factum, eiusque tabula in communi templo posita est. Exemplum occurrit apud Thucyd. V, 47. Nam publica, i. e. urbis templa, sic

ναι, πολὺ κάλλιον τρόπαιον τῶν ἐν ταῖς μάχαις γιγνομένων· τὰ μὲν γὰρ ὑπὲρ μικρῶν ἔργων καὶ μιᾶς τύχης ἐστίν, αὗται δ᾽ ὑπὲρ ἅπαντος τοῦ πολέμου καὶ καθ᾽ ὅλης τῆς Ἑλλάδος ἑστήκασιν.

Ὑπὲρ ὧν ἄξιον ὀργίζεσθαι, καὶ σκοπεῖν ὅπως τῶν τε γεγενημένων δίκην ληψόμεθα καὶ τὰ μέλλοντα διορθωσόμεθα. καὶ γὰρ αἰσχρὸν ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις ἀξιοῦν χρῆσθαι, δημοσίᾳ δὲ τοσούτους τῶν συμμάχων περιορᾶν αὐτοῖς δουλεύοντας, καὶ τοὺς μὲν περὶ τὰ Τρωικὰ γενομένους μιᾶς γυναικὸς ἁρπασθείσης οὕτως ἅπαντας συνοργισθῆναι τοῖς ἀδικηθεῖσιν ὥστε μὴ πρότερον παύσασθαι πολεμοῦντας πρὶν τὴν πόλιν ἀνάστατον ἐποίησαν τοῦ τολμήσαντος ἐξαμαρτεῖν, 79 ἡμᾶς δ᾽ ὅλης τῆς Ἑλλάδος ὑβριζομένης μηδεμίαν ποιήσασθαι κοινὴν τιμωρίαν, ἐξὸν ἡμῖν εὐχῆς ἄξια διαπράξασθαι. μόνος γὰρ οὗτος ὁ πόλεμος εἰρήνης κρείττων ἐστί, θεωρίᾳ μὲν μᾶλλον ἢ στρατείᾳ προσεοικώς, ἀμφοτέροις δὲ συμφέρων, καὶ τοῖς ἡσυχίαν ἄγειν βουλομένοις καὶ τοῖς πολεμεῖν ἐπιθυμοῦσιν. εἴη γὰρ ἂν τοῖς μὲν ἀδεῶς τὰ σφέτερ᾽

---

intelligere, ut opponantur privatis, i. e. singulorum sacellis, de quibus ad Theophr. Char. c. 16. Casaubonus dixit, ab hoc loco alienum fuerit.“ Morus. ἀναθεῖναι] καταθεῖναι G. 6 Aristoteles Rhet. III, 1. 8 ἅπαντος G παντὸς V. 10 ὧν G ὧν καὶ V. τε add. G. 20 εἰρήνης κρείττων G κρείττων εἰρήνης V: θεωρίᾳ μὲν G καὶ θεωρίᾳ V. „Bellum, similius legationi solemni, sacrorum et splendoris causa profecturae, quam expeditioni, aut exercitui, ad bellum profecturo. Videbimur θεωρίαν mittere, non exercitum: ergo bellum habebit plus admirationis, splendoris et ostentationis quam periculi et laboris. De θεωρίᾳ, solemni legatione, v. Ernest. ad Xen. Mem. III. 3, 12. Valcken. ad Herod. VI, 87. Sententiam imitatus est Aristid. Panath. p. 30. de bello contra Darium: Ἡ πόλις πομπὴν ἀγούσῃ προσεῴκει μᾶλλον ἢ πρὸς ἀγῶνα κοσμουμένῃ. Ib. p. 75. de alio bello: Ἐξῆλθον, ὥσπερ πομπῆς, ἀλλ᾽ οὐ κινδύνων μεθέξειν μέλλοντες. Quae loca dubitare non sinunt, θεωρίαν hic esse πομπήν. Similis locus Thuc. VI, 31. de apparatu bellico: μᾶλλον ἐπίδειξις τῆς δυνάμεως καὶ ἐξουσίας ἢ ἐπὶ πολεμίους παρασκευή.“ Morus. 22 ἡσυχίαν G τὴν ἡσυχίαν V. βουλομένοις om. G: male. 23 εἴη G ἐξέσται V soloece. In Trapezitica p. 354, 20. (370 c.) Bekkerus recte ὥστ᾽ οὐκ ἂν εἰκότως περὶ ὀλίγου ποιήσαισθε τὰς ἐκείνων ἐπιστολάς; nam libri

[illegible] εἰς τὴν Εὐρώπην διακομίσαιμεν, καὶ μὴ μόνον [illegible] ἀκούειν. ἀλλὰ τοὺς μὲν πράττειν δυ-[illegible]
X [illegible] ἀλλήλους πειρᾶσθαι διαλλάττειν [illegible] καὶ τὴν Λακεδαιμονίων, τοὺς δὲ [illegible] πρὸς μὲν τὴν παρακαταθήκην [illegible] τῶν φλυαροῦσι παύεσθαι γράφον-[illegible] τὸν λόγον ποιεῖσθαι τὴν ἅμιλλαν, καὶ [illegible] ἐμοῦ περὶ τῶν αὐτῶν πραγμάτων [illegible] ὅτι τοῖς μεγάλ᾽ ὑπισχνουμένοις οὐ [illegible] διατρίβειν, οὐδὲ τοιαῦτα λέγειν ἐξ ὧν ὁ [illegible] τῶν πεισθέντων, ἀλλ᾽ ὧν ἐπιτελεσθέν-[illegible] ἀπαλλαγήσονται τῆς παρούσης ἀπορίας καὶ [illegible] μεγάλων ἀγαθῶν αἴτιοι δόξουσιν εἶναι.

[illegible] αἱ δόξεια ταῖς πόλεσι ταῖς μεγίσταις, διαλυσαμέναις τὰ πρὸς [illegible] αὐτάς, εἰς τὴν Ἀσίαν (haec est ergo ἤπειρος) τὸν πόλεμον [illegible]ενεγκεῖν. Illam εὐδαιμονίαν ἐκ τῆς Ἀσίας c. 48. extr. appellavit μέγαν πλοῦτον ἐκ τῶν ἀλλοτρίων" Morus. 34 „τῶν λόγων ἀμφισβητοῦντας] *Qui certant dicendo*, ἅμιλλαν ποιοῦνται, omninoque οἱ ἐπιστάμενοι λέγειν, ut c. 50." Morus. „πρὸς μὲν τὴν παρακαταθήκην] Ut e verbis, quae paullo post leguntur, πρὸς τὸν λόγον ἁμιλλᾶσθαι, facile apparet, πρὸς τὴν παρακατ. esse, *contra depositum*, non, *de deposito*: ita obscurum est qua de re agatur; nisi quis Wolfii opinionem probare velit, cui ficta controversia declamationis forensis videtur, scripta illa ab Isocrate, et aliorum contrariis orationibus refutata." Morus. H. Wolfii annotatio haec est p. 393. „τὴν παρακαταθήκην] Huius argumenti videtur esse amartyros adversus Euthynum, ab ipso auctore nostro tractatus, contra quem scripsisse fertur Antisthenes. Videtur enim ficta esse controversia declamationis forensis, cuiusmodi exstant Quinctiliani, fragmenta Senecae, et apud Graecos Aristidis et Libanii μελέται." Ab Diogene Laërt. VI. 15. inter Antisthenis scripta memoratur Ἰσογραφὴ ἢ Δεσίας ἢ Ἰσοκράτης, πρὸς τὸν Ἰσοκράτους ἀμάρτυρον. 35 ἄλλων G ἄλλων ἁπάντων V. παύεσθαι G παύσασθαι V.

P. 67, 1 μεγάλα ὑπισχνουμένοις G μεγάλας τὰς ὑποσχέσεις ποιουμένοις V, fortasse ex 34, 7. 4 παρούσης G τοιαύτης V.

MORI
INDEX NOMINUM.

MORI

INDEX GRAECUS.

plici, priore (ἡγεμονίαν) principatum, posteriore initium denotat, αἱ ἀρχαί magistratus c. 30.

ἀρχηγὸς ἀγαθῶν c. 16.

ἀρχικός imperiosus c. 18.

αὐτάρκης χώρα idonea, sufficiens c. 11.

αὐτὸς ὥσπερ c. 4, αὐτός τινι idem cum aliquo c. 23.

αὐτόχειρ ἄλλου τινός c. 32.

αὐτόχθονες, indigenae, non advenae c. 4. ut c. 16. αὐτόχθονες et ἐπήλυδες opponuntur. Suidas: Αὐτόχθονες οἱ Ἀθηναῖοι ἢ ἐπεὶ τὴν χθόνα ἀργὴν οὖσαν πρῶτον εἰργάσαντο· ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας. Quum olim non constaret satis, unde Atticam incolentes venissent, eoque commigrassent, indigenas se censuerunt. Hinc fabella de natis e terra hominibus conficta.

ἀφίστημι. ἀποστῆσαί τινος c. 23.

B.

βασιλεύς rex Persarum c. 26, 34, 37, 38, 39, 40, 43, 47. ὁ β. c. 40 ter. c. 48, βασιλεὺς ὁ μέγας c. 34.

βίος c. 9.

βοηθεῖν ἐπὶ τόπον τινά auxilio venire in locum c. 24, β. συμφοραῖς c. 15, τύχαις ib.

Γ.

γενέσθαι ἐπί τινι c. 15.

γιγνώσκειν ὀρθῶς περί τινος c. 38.

γνησίως ponitur, ut genuini filii spuriis et insiticiis opponuntur c. 4. Aristid. Panathen. p. 11. καθαρὰ εὐγένεια de hac ipsa re.

γνώμην ἔχειν πρός τινα c. 22, διὰ μιᾶς εἶναι γ. c. 38.

γραφή accusatio c. 32.

γυμνικοὶ ἀγῶνες c. 1.

Δ.

δασμολογεῖν tributa exigere c. 34, 36.

δείκνυμι, δέδεικται exemplis et usu demonstratum est, constat c. 43.

δεινὸς ἀγών c. 14, στρατηγός c. 41; δεινόν c. 22, 32, 44, πάθος c. 44, δ. πάσχειν c. 28.

δεῖσθαι βίου c. 9, Panath. c. 68, χρημάτων c. 11.

δεκαδαρχίαι et δεκαρχίαι c. 32.

διὰ μακροτέρων fusius c. 30, δ. μιᾶς γνώμης γενέσθαι consentire c. 38, δ. πολιτειῶν οἰκεῖν τὰς πόλεις c. 2, δ. κατασκευῆς ζῆν c. 5, δ. χρόνου c. 12.

διαιρεῖν ἡγεμονίας c. 2.

διακινδυνεύειν πρός τινα c. 18.

διακεῖσθαι ἀνάνδρως c. 49.

διακριβοῦσθαι περί τινος aliquid diligenter examinare c. 3. cf. epist. ad Iasonis liberos.

διαλαμβάνειν c. 2.

διαλείπειν c. 19.

διαλλαγὴ πρός τινα finis inimicitiae c. 26, 36. *Nempe ellipsis est* διαλλαγὴ τῆς ἔχθρας Dion. Hal. A. p. 205. v. 33.

διαλλάττειν τινάς c. 2, διαλλάττεσθαι πρός τινα c. 41.

διαλύειν infectum reddere, abolere c. 32, 47, πόλεμον bello finem facere c. 45, ταραχάς seditiones opprimere c. 37, διαλύεσθαι *passivum de exercitu, qui* domum discedit c. 39. cfr. Xenoph. Hist. Gr. II.

ἐλαττοῦν c. 47.
ἐλπίδες c. 26, ἐλπίδων ψευσθῆναι c. 15, ἐλπίδας ἔχειν περί τινος c. 6.
ἐμμένειν συνθήκαις c. 22.
ἐμποδών c. 3.
ἐμποιεῖν πόλεμόν τινι c. 44.
ἐμπόριον c. 11.
ἐν κατασκευῇ κατοικεῖν c. 5, ἐν νόμοις ποιήσασθαι, τὰς κρίσεις c. 10, (Thucyd. p. 51.) ἐν νόμοις παιδεύειν c. 23, ἐν μέσῳ τῆς Ἑλλάδος c. 11, ἐν ἀλλοτρίαις ψυχαῖς κινδυνεύειν c. 24, ἐν ἀλλήλοις στασιάζειν c. 30.
ἔνδεια τῶν καθ᾽ ἡμέραν c. 9, 43.
ἐνθένδε. ὁ ἐ. πόλεμος c. 46.
ἐντὸς Ἅλυος c. 40, ἐ. τείχους 33, Φασήλιδος ib. [ubi nunc ἐπὶ τάδε editum.]
ἐξαίρετος c. 26.
ἐξετάζεσθαι c. 41.
ἐξίστημι, ἐξεστηκὼς τῶν πολιτικῶν, *de oratoribus*, remotus a republica, privatus c. 45. *Paullo aliter Demosth. de Cor. c.* 96. ἀποστὰς τῆς πολιτείας, *qui olim gubernavit, postea hanc curam omisit.*
ἐπαίρειν impellere c. 31.
ἐπαμύνειν c. 11.
ἐπανορθοῦσθαι ἅπαντα ταῦτα reparare, restituere in integrum c. 43.
ἐπάρχειν c. 19.
ἐπείγεσθαι festinare c. 24, 46.
ἐπεξέρχεσθαι hostibus c. 15.
ἐπέρχεσθαι prodire c. 2.
ἐπέχειν c. 46.
ἐπήλυδες c. 16.
ἐπί. ὡς ἐπὶ πολύ c. 41, ἐπὶ πλέον 26, ἐ. ξένης ἀλᾶσθαι 43, ἐπί τινος αἰσχύνεσθαι 22, θαλάττης 40, ἐφ᾽ ἡμῶν tempore nostri imperii 32, 34, ἐφ᾽ ὧν sub quorum imperio 30, ἐπί τινι γενέσθαι, εἶναι, 2, 13, 15, 29, 43, prope, ad, c. 15, ἐπὶ τῇ νῦν ἡλικίᾳ hac aetate 44, τὸ ἐπ᾽ ἐκείνῳ 39, ὁ ἐπὶ τούτοις βίος quae his continetur vita; ἐπὶ τίνι φιλοτιμοῦμαι 22, μέγα φρονεῖν ib., προτρέπειν 22, ἐπὶ θανάτῳ συλλαμβάνειν c. 41, ἐπ᾽ ὠφελείᾳ συνάγειν ἑταιρίας c. 22, ἐ. θαλάττῃ 43, ἐπί τι ἀποκλίνειν 43, προσάγειν τινά 3, ἐ. τὸ συμφέρον ἔρχεσθαι 3, ἐπί τινα στρατεύεσθαι 23, στρατείας ποιεῖσθαι 9, ἰέναι aggredi 18, ἡγεμονία ἐπί τινα 18, ἐπ᾽ εὐπορίαν προάγειν 9, ἐπὶ λείαν ἔρχεσθαι 40.
ἐπιβουλαῖς διαμαρτάνειν 40, ἐπιβουλαί 46.
ἐπιδεικτικῶς ἔχειν, comparatum esse ostentationi c. 2. *in bonam partem.* Cic. Orat. c. 11.
ἐπιδεῖν, videre, aequo animo adspicere, et propemodum cum contemtu calamitatis c. 27.
ἐπίδειξιν ποιεῖσθαι c. 2.
ἐπιδιδόναι incrementum accipere c. 30, 51.
ἐπίδοσις incrementum c. 1.
ἐπιείκειαι c. 16.
ἐπικηρυκεύω c. 42.
ἐπικουρεῖν c. 44.
ἐπικυδής, insignis, illustris, v. c. *opibus, divitiis, victoria*, c. 39, ἐπικυδέστερα πράγματα, potentior respublica, ad victoriam opulentior. *Mox synon.* εἶναι κρείττονα. *Cf. Ernesti Glossar. Polyb.*

ADDENDA.

Vulgatam scripturam Coraëam ita dixi ut receptarum ab Coraë coniecturarum rationem non haberem.

P. 1. Annot. ad 32, 9. hiatus in Panegyrico correcti exemplis adde 39, 27 (ἔτι δὲ). 46, 19 (Ἑλλάδα). 49, 12 (καὶ οὐδὲ, ubi καὶ fortasse delendum aut cum alia particula mutandum). 58, 19 (φαυλότητα). 59, 5 (ἀπώλοντο). 60, 14 (ἐπηρεάσαντο). 60, 18 (τοιαῦτα).

P. 2. 33, 4 ὡς — τὸν αὐτὸν pr. G.

P. 54. Annotatione extrema Mori nomen excidit.

